« Ἐπειδὴ πατριαρχεῖον οὐκ ἦν, καὶ ἐν αὐτῷ κελλία οὐχ εὑρίσκοντο, ὥ-» στε ἀναπαύεσθαι τοὺς προσερχομένους ἀρχιερεῖς, καὶ νῦν, προνοίᾳ θεοῦ » καὶ εὐδοκίᾳ, καὶ πατριαρχεῖον ἐγένετο καὶ ὠνομάσθη ὁ θεῖος ναὸς τοῦ » Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου ὁ ἐν τῷ Διπλοφα-» ναρίῳ, καὶ κελλία ἱκανὰ ἀνεκαινίσθησαν ἐν αὐτῷ εἰς παντοίαν ἀνάπαυ-» σιν· τούτου χάριν, τῆς ἡμῶν Μετριότητος συνοδικῶς προ-αθημένης, μετὰ » τῶν παρευρεθέντων ἐνταῦθα ἱερω-άτων ἀρχιερέων καὶ Ὑπερτίμων, τῶν » ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν, καὶ τῶν τι-» μιωτάτων καὶ λογιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Με-» γάλης Ἐκκλησίας, κοινῇ γνώμῃ ἀπόφασις τελεία ἐγένετο ἵνα ἀπὸ τοῦ » νῦν καὶ εἰ. τὸν ἑξῆς ἅπαντα αἰῶνα πάντες οἱ, ἢ δι' ἀνάγκην τῆς Ἐκκλη-» σίας, ἢ δι' ἰδίαν χρειαν, προσερχόμενοι εἰς τὴν Κωνσταντινούπολιν ἀρχιε-» ρεῖς ὅλως μὴ τολμῶσιν ἔξω τοῦ πατριαρχείου ἐν ἀλλοτρίοις οἴκοις εἰ-» σέρχεσθαι καὶ καθέζεσθαι, διὰ τὴν ὑποψίαν καὶ τὸ ἀσκανδάλιστον· ἀλλὰ » γνώμῃ τῆς ἡμῶν Μετριότητος εἰσέρχωνται ἐν τῷ πατριαρχείῳ καὶ εὑ-» ρίσκωνται ἐν αὐτῷ, καὶ πάλιν ἀδείᾳ ἡμετέρᾳ ἐν καιρῷ χρείας ἐξέρχωνται.

» Εἰ δέ τις ἐξ αὐτῶν οὐ στέρξει τοῦτο, ἀλλ' εὐθὺς ἔξω τοῦ πατριαρχείου
» οἰκήσει, καὶ τοῦ παρόντος καταφρονήσει, ἀργὸς ἔστω χρόνον ἕνα πάσης
» ἀρχιερατικῆς ἐνεργείας καὶ τάξεως· καταφρονῶν δὲ τῆς ἀργίας καὶ ἀ-
» φωρισμένος· ἂν δὲ σκάνδαλόν τι προξενήσῃ καὶ ζημίαν τῇ ἐκκλησίᾳ
» τοῦ Χριστοῦ, καὶ καθῃρημένος τῆς ἀρχιερωσύνης αὐτοῦ, καὶ ἐστερημέ-
» νος τοῦ θρόνου καὶ πάσης τῆς ἐπαρχίας αὐτοῦ καὶ τῶν εἰσοδημάτων,
» ἑτέρου ἀπαρεμποδίστως χειροτονουμένου ἐν τῷ θρόνῳ ἐκείνῳ γνησίου μη-
» τροπολίτου. Ὅθεν καὶ τὸ παρὸν συνοδικὸν σημείωμα ἐγένετο διὰ τὴν
» εἰρήνην τῆς ἐκκλησίας καὶ τὸ ἀτάραχον. Ἐν ἔτει 7111 Ἰνδικτιῶνος ά.

—

Ἔτει σωτηρίῳ 1608.

Τὸν Ἱεροσολύμων Σωφρόνιον, πατριαρχεύσαντα ἔτη 29 καὶ παραιτησάμενον διὰ τὸ γῆρας, διεδέχθη ὁ Θεοφάνης.

ΚΕΦ. ΚΑ'.

Δευτέρα πατριαρχεία τοῦ αὐτοῦ Νεοφύτου τοῦ ἀπὸ Ἀθηνῶν, καὶ δευτέρα πατριαρχεία τοῦ αὐτοῦ Ῥαφαὴλ τοῦ ἀπὸ Μεθύμνης, καὶ πατριαρχεία Τιμοθέου τοῦ ἀπὸ Παλαιῶν Πατρῶν.

—

Ἔτει σωτηρίῳ 1609.

Ἔτη ὅλα τέσσαρα καὶ ἡμέρας τινὰς πατριαρχεύσας ὁ Ῥαφαὴλ παραιτεῖται, καὶ ἀναβιβάζεται εἰς τὸν θρόνον τὸ δεύτερον ὁ αὐτὸς Νεόφυτος ὁ Β'· καὶ σώζεται τούτου καὶ συνοδικὸν περὶ συνοικεσίων τὸ ἑξῆς.

« Νεόφυτος ἐλέῳ Θεοῦ κτλ».

« Τῆς ἡμῶν Μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐ-
» τῇ τοῦ τε Μακαριωτάτου καὶ Ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων Κὺρ

» Θεοφάνους, καὶ τῶν παρατυχόντων ἱερωτάτων ἀρχιερέων καὶ Ὑπερτί-
» μων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καὶ συλλειτουρ-
» γῶν, ἐπὶ θεωρίᾳ καὶ σκέψει ἐκκλησιαστικῶν τινων ἀναγκαίων ὑποθέσεων,
» πρὸς τοῖς ἄλλοις τοῖς παρὰ τῶν ἀρχιερέων προβαλλομένοις ζητήμασι, μετὰ
» πολλῆς ἐφέσεως καὶ ἱκεσίας παρὰ πολλῶν τῶν τότε συνεισρευσάντων, οὐ
» μόνον ἀρχιερέων, ἀλλὰ δὴ καὶ κληρικῶν, ἀπῃτήθη καὶ ἠρωτήθη τίνι τρό-
» πῳ καὶ διὰ ποίαν αἰτίαν εὑρίσκονται ἀμφιβαλλόμενα τὰ δύο ταῦτα,
» τὸ μὴ ἐξεῖναι δυσὶν ἀδελφοῖς δύο πρώτας ἐξαδέλφας λαβεῖν, καὶ τὸ κω-
» λύεσθαι εἰς γάμου κοινωνίαν ἐλθεῖν τὸν σαρκικὸν τοῦ ἀναδόχου υἱὸν εἰς
» τὴν ἐπ' ἀδελφῷ ἀνεψιὰν τοῦ ἀναδεχθέντος ὑπ' αὐτοῦ. Ὧν τὴν ἀμφιβο-
» λίαν λύσαι βουλόμενοι, ἀναπτύξαντες τοὺς θείους καὶ ἱεροὺς νόμους καὶ
» κανόνας, εὕρομεν τὸν μὲν ἐξ ἀγχιστείας τοῦτον παρὰ μηδεμιᾶς ἄλλης
» συνόδου κωλυθέντα, ὡς ἕκτου βαθμοῦ τυγχάνοντα, εἰμὴ μόνον ἐπὶ τῆς
» πατριαρχείας τοῦ Σισινίου ἐκείνου, ὃν καὶ μετὰ ταῦτα ὁ ἀοίδιμος καὶ
» εὐσεβέστατος βασιλεὺς Κὺρ Ἀλέξιος ὁ Κομνηνὸς διὰ θεσπίσματος αὐτοῦ
» οὑτωσὶ κατὰ λέξιν διακελεύεται καὶ συγχώρησιν, ὡς φαίνεται, δίδωσιν,
» ὅπως ἂν ἀμφότερα καλῶς διαφυλαχθῶσι καὶ σεβασθῶσιν, ἤτε μεγα-
» λειότης τῶν βασιλικῶν τε καὶ ἀρχιερατικῶν διαταγμάτων, καὶ ἡ τῶν
» νόμων καὶ ἡ τῶν Κανόνων ἀκρίβεια. Μήτε παντελῶς δοτέον
» τῷ νόμῳ τούτῳ τὴν λύσιν, μήτε πάντῃ ἐπιτρεπτέον
» αὐτῷ καὶ αὖθις τὸ ἐνεργόν, ἀλλὰ τὴν μέσην βαδι-
» στέον, ὅ φασι, καὶ βασιλικήν, καὶ ἄμφω συντηρητέον,
» τό τε περὶ τὸν τομογράφον ἐκεῖνον ἀρχιερέα σέβας
» καὶ τοὺς ἐπιμνησθέντας τοῦ τόμου αὐτοῦ βασιλεῖς,
» καὶ τὸ μηδὲν τοῖς νόμοις ἀπᾷδον καὶ τοῖς Κανόσι
» προτρέψασθαι, ὅπερ ὁ τοιοῦτος νόμος εἰσήνεγκεν.
» Χρὴ γὰρ τὸ ἀπὸ τοῦ τοιούτου εἰσενηνεγμένον συνάλ-
» λαγμα, ἤδη μὲν συντελεσθὲν καὶ πρὸ ἐρωτήσεως, μὴ
» διασπᾶσθαι, ἐπιτιμίοις δὲ τοὺς οὕτως εἰς γάμον
» ἁρμοσθέντας βαρύνεσθαι, κατὰ τὴν κρίσιν καὶ δο-
» κιμασίαν τοῦ κατὰ τόπον ἀρχιερέως, καὶ συντηρεῖ-
» σθαι τούτοις τὸ συνοικέσιον· φθάσαν δὲ πεσεῖν εἰς
» ἐρώτησιν μὴ ἐνδίδοσθαι χωρὶς τῶν ἀνηκόντων ἐπι-
» τιμίων καὶ ἐντολῶν, δι' ὃ σέβας ἄνωθεν εἴρηται,
» μηδὲ ἀδεῶς καὶ ἀνυποστόλως καὶ ἀναιτίως τοῖς
» ἐρωτήσασιν ἐπιτρέπεσθαι, ἀλλὰ μετὰ ἐντολῆς, μᾶλ-
» λον δὲ καὶ ἀνάμνησιν τοῦ ῥηθέντος τόμου παρὰ τῆς
» ἐκκλησίας λαμβάνειν αὐτοὺς καὶ τῶν ἐν αὐτῷ δια-
» τατταμένων. Καὶ εἰ μὲν τὸ θέσπισμα τιμᾷν προαι-
» ροῦμενοι καὶ τὰ ἐν αὐτῷ διειλημμένα φυλάττειν
» ἀπαρασάλευτα βούλοιντο, ἐπαινετέοι πάντως εἰ-
» σιν· εἰ δὲ τὸ παρ' αὐτοῦ κεκωλυμένον διαπράττεσθαι
» προαιροῖντο, συγχωρηθήσονται μὲν τοῦτο ποιεῖν,

» πλὴν ὅμως τοῖς προσήκουσιν ἐπιτιμίοις καθυπαγό-
» μενοι. Τὸν δὲ ἐκ τοῦ θείου βαπτίσματος προειρῆμένον γάμον ὡσαύ-
» τως καὶ αὐτὸν ἀκώλυτον καὶ παρὰ μόνου τοῦ Κρητὸς ἐκείνου Ζαχαρίου
» Μαραφορᾶ ἐμποδιζόμενον. Φησί γαρ ῥητῶς ὁ Κανών, Οὐ δύναμαι
» λαβεῖν ἣν ἐκ τοῦ Ἁγίου Βαπτίσματος ἀνεδεξάμην,
» οὔτε τὴν αὐτῆς μητέρα ἢ θυγατέρα, ἀλλ' οὐδὲ ὑιός
» μου· καὶ παρακατιὼν λέγει: Ταῦτα μόνα φυλακτέα, τὰ
» δ' ἐπέκεινα ἀπαρατηρήτως εἰς γάμον συνάπτεσθαι.
» Καὶ εἰ μὲν τὰ τοιαῦτα συναλλάγματα τῷ τότε ἐλύθησαν, καὶ ἐγίνετο
» χριστιανισμοῦ ὄντος, πολλῷ μᾶλλον τανῦν συμφέρει γίνεσθαι διὰ τὴν
» δυστυχίαν καὶ στενοχωρίαν τοῦ Γένους. Γράφοντες οὖν ἀποφαινόμεθα
» ἐν Ἁγίῳ Πνεύματι, γνώμῃ κοινῇ συνοδικῇ, ἵνα ὁ μὲν γάμος οὗτος, ὡς
» τὸν ἀριθμὸν τῆς κατὰ πᾶσαν ἀνάγκην ὀφειλομένης προφυλακῆς τῆς ἐξ
» ἀγχιστείας συγγενείας τοῦ ἕκτου βαθμοῦ σῶον ἔχων, μόνην δὲ τὴν
» παρατήρησιν ἥτις καὶ αὐτὴ εἰς οὐδὲν λογίζεται, εἴη συγκεχωρημένος
» καὶ λελυμένος, καὶ γίνηται ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀπροκριματί-
» στως καὶ ἀδιστάκτως χωρίς τινος ἐπιτιμίου καὶ κανόνος. Εἰ γὰρ καὶ
» τότε ὁ ἀοίδιμος βασιλεὺς καὶ ἡ περὶ αὐτὸν σύνοδος, διὰ τὸν πρὸς τὸν
» πατριάρχην ἐκεῖνον Σισίνιον σέβας, μετά τινος ἐπιτιμίου καὶ ἐντολῆς
» ἐθέσπισε γίνεσθαι, ἀλλ' ὅμως ἡμεῖς, καὶ πρὸς τὴν τοῦ καιροῦ κατάστα-
» σιν, καὶ τὴν τοῦ ἡμετέρου Γένους δουλείαν, καὶ τὸ τῶν πολλῶν μικρόψυ-
» χον ἀποβλέποντες, τοῦ ἐπιτιμίου τοὺς συναπτομένους ἀπολύομεν, καὶ
» ταῦτα ἵνα μὴ καί τισι πρὸς φιλοχρηματίαν μόνην τὸ ὅμμα ῥέπουσι λα-
» βὴν ἐπιδαψιλεύσωμεν. Ὁ δὲ ἐκ τοῦ Ἁγίου Βαπτίσματος εἰς τὰ προῤῥη-
» θέντα καὶ μόνα πρόσωπα φυλάττηται, τὰ δὲ περαιτέρω, ὡς πλάγια, γί-
» νωνται ἀκωλύτως καὶ δίχα τοῖς οἱασοῦν ἀμφιβολίας καὶ ὑποψίας, ἐξῃρη-
» μένων τῶν κατιόντων ἐξ αὐτῶν τῶν δύο πνευματικῶν ἀδελφῶν, ἤτοι
» τοῦ σαρκικοῦ υἱοῦ τοῦ ἀναδόχου καὶ τοῦ ἀναδεχθέντος ὑπ' αὐτοῦ, ὧν ἡ
» πνευματικὴ συγγένεια τηρεῖται ἄχρι τοῦ ἑβδόμου βαθμοῦ καὶ λύεται εἰς
» τὸν ὄγδοον, ὥσπερ καὶ ἡ ἐξ αἵματος.—Τὸ μὲν φυλάττεσθαι καὶ διατη-
» ρεῖσθαι καὶ περισώζεσθαι τοὺς θείους καὶ ἱεροὺς κανόνας τε καὶ νόμους
» καὶ ἔχειν αὐτοὺς τὸ ἀπαρασάλευτον καὶ ἀμεταποίητον ἀναγκαῖον πάν-
» τως καθέστηκε καὶ ἀναντίῤῥητον· τὸ δὲ ἐξεῖναι πάλιν τῇ ἀρχιερατικῇ
» συνόδῳ καὶ ἄδειαν κεκτῆσθαι μεταβάλλειν τὰ προστάγματα καὶ ἐξοικο-
» νομεῖν κατὰ καιροὺς, ἵνα μή τις ὅλεθρος ψυχικὸς γένηται, καὶ τοῦτο ὁ-
» μολογούμενόν ἐστι καὶ ἀναμφίβολον. Ἐπειδὴ τοίνυν τῆς ἡμῶν Μετριότη-
» τος συνοδικῶς προκαθημένης, καὶ συνεδριαζόντων αὐτῇ τοῦ τε Ἁγιωτά-
» του καὶ Μακαριωτάτου πατριάρχου Ἱεροσολύμων κὺρ Θεοφάνους, καὶ τῶν
» λοιπῶν ἱερωτάτων ἀρχιερέων, πρὸς τοῖς ἄλλοις ἀνηνέχθη εἰς μέσον καὶ ἠ-
» ρωτήθη εἰ δύναται ἀνδρός τινος γυνὴ ἐν ἀποδημίᾳ τυγχάνοντος διαζευ-
» χθῆναι ἀπ' αὐτοῦ καὶ ἑτέρῳ συναφθῆναι πρὸ τοῦ ἐπανελθεῖν αὐτὸν ἀπὸ
» τῆς ἀποδημίας, ἀποκρινόμεθα περὶ τούτου καὶ λέγομεν ὅτι· Οἱ μὲν θεῖοι
» κανόνες ἐξ ἅπαντος ἀπαγορεύουσι καὶ κωλύουσιν αὐτὴν μὴ δύνασθαι

» ποιῆσαι τοῦτο πρὸ τῆς ἑπταετίας ἢ τῆς πενταετίας τοὐλάχιστον. Ἡμεῖς
» δὲ διασκεψάμενοι τὸ περὶ τούτου συνοδικῶς, διά τε τὸ ἀνώμαλον τοῦ καιρ-
» οῦ καὶ τὴν τοῦ ἔθνους δουλείαν, καὶ μάλιστα διὰ τὸν ἐνόντα ταῖς γυναι-
» ξὶ ψυχικὸν κίνδυνον, γράφομεν ἐν Ἁγίῳ Πνεύματι ἵνα ἀπὸ τοῦ νῦν καὶ
» εἰς τὸ ἑξῆς, εἴτις γυνὴ ἔχουσα ἄνδρα νόμιμον ἀποδημοῦντα καὶ μὴ φρον-
» τίζοντα ἐπαναστραφῆναι πρὸς αὐτὴν ἐντὸς τῆς τριετίας καὶ μόνης καὶ
» συνοικῆσαι μετ' αὐτῆς, καὶ αὐτὴ ὑπὸ ἐνδείας στενοχωρουμένη καὶ κιν-
» δυνεύουσα ψυχικῶς θελήσῃ τὴν ἀπ' αὐτοῦ διάζευξιν, ἢ διεζευγμένη καὶ
» κεχωρισμένη ἀπ' αὐτοῦ, καὶ ἔχῃ ἐπ' ἀδείας εἰς ἕτερον ἀπιδεῖν ἔννομον
» γάμον.—Πρὸς τούτοις ἔτι ἀπεφάνθη κἀι τοῦτο, εἰ τύχοι τὸν ἁπλῶς θεῖον
» λαβεῖν ἑνὸς χριστιανοῦ ἀδελφόπαιδα εἰς γυναῖκα, ἔχειν ἄδειαν καὶ τὸν
» ἁπλῶς θεῖον αὐτῆς πάλιν ἀγαγέσθαι εἰς γυναῖκα νόμιμον τὴν ἐπ' ἀδελ-
» φῇ ἀνεψιὰν τοῦ θείου αὐτῆς, καὶ εἰς οὐδὲν μετρεῖσθαι τὴν σύγχησιν.—
» Ὡσαύτως ἐγένετο καὶ ἀπόφασις ἔτι, καὶ τὸν πρὸ ἐρωτήσεως γενέσθαι
» φθάσαντα ἑβδόμου βαθμοῦ γάμον ἐξ αἵματος μὴ διασπᾶσθαι, ἀλλ' ἐκ-
» κλησιάζεσθαι ἀκωλύτως, διὰ τὴν στενοχωρίαν τοῦ Γένους. Οὕτως ἀπο-
» φαινόμεθα συνοδικῶς, μὴ τολμώντων τινῶν εἰς τὸ μετέπειτα ἀθετῆσαι
» καὶ ἀνατρέψαι τὴν παροῦσαν συνοδικὴν διάσκεψιν καὶ ἀπόφασιν, ἐν ἀρ-
» γίᾳ ἀσυγγνώστῳ καὶ ἀφορισμῷ ἀλύτῳ καὶ αἰωνίῳ τῷ παρὰ θεοῦ. Ὅ-
» θεν εἰς τὴν περὶ τούτου δήλωσιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν καὶ πλείο-
» να τὴν διαμονὴν ἐγένετο τὰ παρόντα ἡμῶν πατριαρχικὰ σημειώματα,
» καὶ κατεστρώθησαν ἐν τῷ θείῳ καὶ ἱερῷ νομίμῳ κώδηκι τῆς τοῦ Χριστοῦ
» Μεγάλης Ἐκκλησίας. Ἐν ἔτει ζριθ', μηνὶ Ματῳ, Ἰνδικτιῶνος ἐννάτης.
» Πατριάρχης Κωνσταντινουπόλεως Νεόφυτος. Θεοφάνης ἐλέῳ θεοῦ πα-
» τριάρχης τῆς Ἁγίας πόλεως Ἱερουσαλήμ· ὁ Θεσσαλονίκης Παΐσιος· ὁ Πα-
» λαιῶν Πατρῶν Τιμόθεος· ὁ Χαλκηδόνος Τιμόθεος· ὁ Λαρίσσης Τιμόθεος· ὁ
» Μεσημβρίας Κυπριανός· ὁ Ζιχνῶν Ἰάκωβος· ὁ Νευροκόπου Δανιήλ· ὁ Αἴ-
» νου Μελέτιος· ὁ Ξάνθης Γαβριήλ· ὁ Φαναρίου Σέργιος· ὁ Ἀρδαμηρίων Ζω-
» σιμᾶς· ὁ Σερρῶν Θεοφάνης· ὁ Νικομηδείας Γαβριήλ· ὁ Κορίνθου Ἄνθιμος·
» ὁ Προύσης Ἰωάσαφ· ὁ Φιλίππων Κλήμης· ὁ Δράμας Νεόφυτος· ὁ Βιδύνης
» Σωφρόνιος· ὁ Διδυμοτείχου Ἰωάσαφ· ὁ Κασανδρείας Σισώης· ὁ Μύλου Παρ-
» θένιος· ὁ πρώην Μυκλῶν Κύριλλος».

Ἀγκαλὰ καὶ Μελέτιος ὁ Ἀθηνῶν ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ νὰ γράφῃ ὅτι μετὰ τὴν ἔξωσιν τοῦ Ῥαφαὴλ τοῦ Β' νὰ ἐπατριάρχευσε τὸ δεύτερον ὁ προῤῥηθεὶς Νεόφυτος ὁ ἀπὸ Ἀθηνῶν, καὶ τοῦτο ἀληθέστατον, ὡς ἴδομεν, ὅπερ ὅμως γράφει ὅτι μετὰ τὸν Νεόφυτον αὐτὸν νὰ διώκησεν ἐπιτροπικῶς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως Ἀλεξανδρείας τις Κύριλλος, εἶναι προφανὴς παραδρομὴ κονδυλίου.

—

Ἔτει σωτηρίῳ 1614

Δευτέρα πατριαρχεία Ῥαφαὴλ τοῦ ἀπὸ Μεθύμνης.

Μετὰ γὰρ τὸν προῤῥηθέντα Νεόφυτον, ἔτη τανῦν τὸ δεύτερον πέντε ὅλα πατριαρχεύσαντα καὶ θανόντα, ἀνεβιβάσθη τὸ δεύτερον πάλιν ὁ αὐτὸς Ῥαφαὴλ ὁ Β′, ἔτει σωτηρίῳ **1614**, καὶ πατριαρχεύσας ἔτη δύο πρὸς τὰς αἰωνίους μετέβη μονάς.

—

Ἔτει σωτηρίῳ 1616.

Πατριαρχεία Τιμοθέου τοῦ Β′.

Θανόντος τοίνυν Ῥαφαὴλ τοῦ Β′, ψήφῳ καὶ δοκιμασίᾳ κοινῇ ἀρχιερέων τε καὶ κληρικῶν, ἀνεβιβάσθη εἰς τὸν ἀποστολικὸν πατριαρχικὸν Οἰκουμενικὸν θρόνον Τιμόθεος ὁ Β′ ὁ ἀπὸ Παλαιῶν Πατρῶν· ἐγένετο δ' οὗτος πατριάρχης ἁγιώτατος καὶ κατὰ τὴν μαρτυρίαν τοῦ Κὺρ Δοσιθέου.

—

Ἔτει σωτηρίῳ 1617, τοῦ Χιτζρὲ 1026.

Μετὰ πολλὰς οὖν ἥττας τὰς ἀπὸ τοῦ σὰχ Ἀμπὰζ, βασιλέως τῶν Περσῶν, ἐπενεχθείσας τοῖς Ὀθωμανοῖς ἔρχεται ὁ ῥηθεὶς βεζίρης Μεχμὲτ-πασσᾶς εἰς τὸ Ἐρζρούμ. Καὶ φθάσας ἐκεῖ καπιτζήπασης καρατομεῖ αὐτὸν, καὶ γίνεται βεζίρης ὁ Χαλὶλ-πασσᾶς, στρατηγὸς νουνεχὴς καὶ ἀνδρεῖος, προσταχθεὶς ν' ἀκολουθῇ τὸν κατὰ τῶν Περσῶν πόλεμον. Ἑτοιμαζομένου οὖν τοῦ βεζίρη πρὸς τὸν περσικὸν πόλεμον προσπαλαίει πυρετὸς τῷ σουλτὰν Ἀχμὲτ εἰς τὴν Κωνσταντινούπολιν, ἐξ οὗ καὶ θνήσκει τῇ ιέ τοῦ Νοεμβρίου, ζήσας ἔτη 29 καὶ βασιλεύσας ἔτη 14· ἀφῆκε δὲ τρεῖς υἱοὺς, Ὀσμὰν, Μουρὰτ καὶ Ἰπραήμ.

—

Ἔτει σωτηρίῳ 1618, τοῦ Χιτζρὲ 1027.

Βασιλεία τοῦ σουλτὰν Μουσταφᾶ.

Ἀναβιβάζεται δὲ εἰς τὸν θρόνον ὁ μικρότερος αὐτοῦ ἀδελφὸς Μουσταφᾶς. Ἐξεδόθη εὐθὺς εἰς τὰς τρυφὰς καὶ σπατάλας ὑπὲρ τὸν Σαρδανάπαλον, χωρὶς νὰ φροντίζῃ ποσῶς διὰ τὰς ὑποθέσεις τῆς βασιλείας· ἀκολουθῶν δὲ ταύτην τὴν ζωὴν ἀδιακόπως κατεβιβάσθη τοῦ θρόνου ὑπὸ τῶν ἐν τέλει μετὰ τετραμηνιαῖον διάστημα καὶ κατεκλείσθη εἰς τοὺς Ἑπτὰ Κουλάδες.

Βασιλεία τοῦ σουλτὰν Ὀσμάν.

Ἀνεβίβασαν δὲ εἰς τὸν θρόνον τὸν προῤῥηθέντα υἱὸν τοῦ σουλτὰν Ἀχμὲτ, Ὀσμὰν, ἄγοντα ἔτος τῆς ἡλικίας ὄγδοον.

—

Ἔτει σωτηρίῳ 1620.

Ὁ πατριάρχης Τιμόθεος, ἐκ τοῦ Πανόρμου τῆς Κυζίκου ὁρμώμενος, ἀνὴρ σεμνὸς ἦν καὶ περὶ τὰ θεῖα εὐλαβής. Οὗτος καὶ τὸν ναὸν τοῦ Ἁγίου Γεωργίου τὸν ἐν τῷ νέῳ πατριαρχείῳ ἀνοικοδομήσας ἐπηύξησε· καὶ πρὸς τοὺς Σιναΐτας ἔγραψε συνοδικὸν κείμενον ἐν τῷ κατὰ Ἀνανίου βιβλ. ά.

Συγκροτεῖ καὶ δευτέραν σύνοδον, παρόντος καὶ τοῦ Ἀλεξανδρείας Κυρίλλου, τοῦ Ἀντιοχείας Εὐθυμίου καὶ τοῦ Ἱεροσολύμων Σωφρονίου, ἥτις πρὸς τοῖς ἄλλοις καθαιρέσει ὑπέβαλε Λαυρέντιον τὸν ἀρχιεπίσκοπον τοῦ ὄρους Σινᾶ, ὡς παρὰ τὴν ἀρχαίαν παράδοσιν πρῶτον πάντων μίτραν ἐπὶ κεφαλῆς ἐν ταῖς ἱεραῖς τελεταῖς τεθεικότα.

Κατὰ μῆνα Νοέμβριον ἐφάνη ἐν τῷ οὐρανῷ σημεῖον, ὅπερ ἦν ξίφος κυρτὸν πεντάκις ἐπιμηκέστερον τῆς λόγχης, καὶ πλατὺ πόδας τρεῖς· ἐξετείνετο ἀπὸ ἀνατολῆς εἰς δύσιν, καὶ ἐφαίνετο μῆνα ὁλόκληρον μετὰ τὴν τοῦ ἡλίου δύσιν, πάντοτε μὲ τὴν αὐτὴν πολλὴν λαμπρότητα.

—

Ἔτει σωτηρίῳ 1621, τοῦ Χιτζρὲ 1030.

Χειμὼν μέγιστος εἰς τὴν Πόλιν· ἐπαγώθη ἡ θάλασσα τοῦ Βοσπόρου, καὶ διήρχοντο οἱ πολῖται πεζοὶ ἀπὸ τῆς Πόλεως ἕως εἰς τὸ Χάσκιοϊ.

Ἦρος φανέντος ἐκστρατεύει ὁ σουλτὰν Ὀσμὰν κατὰ τῶν Λέχων· ἁρπάζει παρ' αὐτῶν τὸ Χοτίνι, πέμπει τὸν χάνην λεηλατήσοντα τὰ ἐνδότερα τῆς Πολωνίας, καὶ τέλος εἰρηνεύσας ἐπὶ συμφωνίαις ἐπικερδέσι τῇ βασιλείᾳ ἐπανῆλθεν εἰς τὴν Κωνσταντινούπολιν μὲ πολλὰ λάφυρά τε καὶ ἀνδράποδα.

ΚΕΦ. ΚΒ'.

Πατριαρχεία Κυρίλλου τοῦ Λουκάρεως. Ἐπιπήδησις εἰς τὸν Οἰκουμενικὸν θρόνον Γρηγορίου τοῦ Ἀμασείας.

Θανόντος Τιμοθέου τοῦ Οἰκουμενικοῦ πατριάρχου δηλητηρίῳ φαρμάκῳ, ἡμέρᾳ Τετάρτῃ τῆς ἑβδομάδος τῶν Παθῶν, καὶ ταφέντος ἐν τῇ μονῇ τῆς Θεοτόκου τῇ ἐν τῇ νήσῳ τῆς Χάλκης, οἱ παρευρεθέντες ἀρχιερεῖς μετὰ τῶν τῆς ἐκκλησίας κληρικῶν τε καὶ ἀρχόντων ἐξελέξαντο πατριάρχην τὸν ἤδη Ἀλεξανδρείας Κύριλλον τὸν Λούκαριν, διάγοντα τότε ἐν Μολδοβλαχίᾳ· καὶ ὁρισμὸν εἰληφότες ἤγαγον αὐτὸν ἐκεῖθεν εἰς τὴν Κωνσταντινούπολιν, καὶ τῇ ἡ τοῦ Νοεμβρίου ἐκ τοῦ θρόνου τῆς Ἀλεξανδρείας, οὗ προέστη ἔτη 18, εἰς τὸν Οἰκουμενικὸν θρόνον μετέθεντο. Ψεύδεται οὖν ὁ Ἀλάτιος γράφων τὸν Λούκαριν φαρμακεῦσαι τὸν Τιμόθεον· ὅτι μὲν γὰρ ὁ Τιμόθεος δηλητηρίῳ φαρμάκῳ ἀπέθανεν, ἀληθές· ποῖος δὲ αὐτὸν ἐφαρμάκευσεν, ἄδηλον.

—

Ἔτει σωτηρίῳ 1622, τοῦ Χιτζρὲ 1031.

Δευτέρα βασιλεία τοῦ αὐτοῦ σουλτὰν Μουσταφᾶ.

Ὁ σουλτὰν Ὀσμὰν βουλεύεται ἀπελθεῖν εἰς προσκύνησιν τοῦ ἐν τῇ Μέκκᾳ ναοῦ, Κ ι α μ π ὲ λεγομένου, καὶ μεταθεῖναι εἰς τὴν Αἴγυπτον τὸν βασιλικὸν θρόνον. Ὅθεν οἱ φίλοι τοῦ ἤδη ἐξωσθέντος σουλτὰν Μουσταφᾶ διεγείρουσι τοὺς γιαννιτζάρους εἰς ἀποστασίαν· οὗ γενομένου καθαιρεῖται ὁ σουλτὰν Ὀσμὰν, καὶ ἀπάγεται εἰς τοὺς Ἑ π τ ὰ Κ ο υ λ ά δ ε ς, κἀκεῖσε πνίγεται ὑπὸ τῶν ἀνταρτῶν γιαννιτζάρων, ἄγων ἔτος τῆς ἡλικίας δωδέκατον καὶ βασιλεύσας ἔτη τέσσαρα.

Ἀναβιβάζουσι δὲ εἰς τὸν θρόνον τὸν ῥηθέντα σουλτὰν Μουσταφᾶν, τῆς εἱρκτῆς ἐκβαλόντες, Μαΐου 10, νομίζοντες ὅτι νὰ ἐσωφρονίσθη ὑπὸ τῆς δυστυχίας καὶ καθαιρέσεως. Ἀλλ' αὐτὸς εὐθὺς βασιλεύσας ἄρχεται κατεργάζεσθαι καὶ κατατολμᾶν τὰ πρῶτά του ἐλαττώματα καὶ σπατάλας μὲ περισσοτέραν προσθήκην καὶ αὔξησιν, προσθεὶς ταῖς σπατάλαις καὶ τὴν τυραννίαν, δι' ἧς ἐφόνευσε τοὺς καταβιβάσαντας αὐτόν ποτε τῆς βασιλείας, καὶ ἀμελῶν πάσας τὰς ὑποθέσεις τῆς βασιλείας.

Μετατεθέντος ἤδη Κυρίλλου τοῦ Λουκάρεως εἰς τὸν Οἰκουμενικὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀνεβιβάσθη τῷδε τῷ 1622 ἔτει εἰς τὸν πατριαρχικὸν τῆς Ἀλεξανδρείας θρόνον ὁ Γεράσιμος. Οὗτος συνέθετο λόγους πολλοὺς σωζομένους μέχρι τοῦδε ἐν τῇ βιβλιοθήκῃ τοῦ πατριαρχείου τοῦ ἐν τῷ Καχίρῳ τῆς Αἰγύπτου. Ἀνέγνων κἀγὼ διατρίβων ἐκεῖσε λόγον αὐτοῦ ἐγκωμιαστικὸν εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου, ἐν ᾧ λέγει ὅτι οὐχ ὑπέκειτο ἡ Θεοτόκος τῷ προπατορικῷ ἁμαρτήματι.

—

Ἔτει σωτηρίῳ 1623, τοῦ Χιτζρὲ 1032.

Οὕτως οὖν ἀσώτως καὶ τυραννικῶς διαβιώσας ἐπὶ τοῦ θρόνου ὁ σουλτὰν Μουσταφᾶς ὁ Α' ἐπὶ μῆνας 15, καταβιβάζεται τῆς βασιλείας ὑπὸ τῶν προϋχόντων, Σεπτεμβρίου ιγ', καὶ ἐπιβιβάσαντες αὐτὸν ὄνου περιετριγύρισαν τὰς ἁγυιὰς τῆς Πόλεως χλευαζόμενον καὶ ἐμπαιζόμενον ὑπὸ τοῦ πλήθους καὶ πάντων τῶν ἐντυγχανόντων αὐτῷ καθ' ὁδὸν, καὶ καθείρξαντες ἐν τῇ εἱρκτῇ τῶν Ἑ π τ ὰ Π ύ ρ γ ω ν, μετὰ μικρὸν κατεπνίγη διὰ προσταγῆς τοῦ διαδεξαμένου τὴν βασιλείαν,

Βασιλεία σουλτὰν Μουρὰτ τοῦ Δ'.

Ὃς ὑπῆρξε σουλτὰν Μουρὰτ ὁ Δ', υἱὸς ὢν τοῦ προῤῥηθέντος σουλτὰν Ἀχμὲτ, ἄγων ἔτος τῆς ἡλικίας 14.

Ἦτον εἰς αὐτοὺς τοὺς χρόνους τυπογραφία εἰς τὴν Πόλιν.

Ὁ Κωνσταντινουπόλεως πατριάρχης Κύριλλος ὁ Λούκαρις, προστὰς τοῦ θρόνου μῆνας δέκα πρὸς τοῖς ἑπτὰ καὶ ἡμέρας τέσσαρας, ἀδίκως ἐξώσθη, τῷδε τῷ ἔτει Ἀπριλίου ιϐ', ἐπὶ τοῦ προῤῥηθέντος σουλτὰν Μουρὰτ τοῦ Δ', εἶτα καὶ ἐξωρίσθη.

Ἐπιπήδησις εἰς τὸν Οἰκουμενικὸν θρόνον Γρηγορίου τοῦ Ἀμασείας.

Γέγονε δὲ ταῦτα τῇ καταδρομῇ Γρηγορίου τοῦ Ἀμασείας μητροπολίτου, τοῦ καὶ Σ τ ρ α β ο α μ α σ ε ί α ς ἐπικληθέντος, ὃς λῃστρικῶς τὸν Οἰκουμενικὸν θρόνον καθήρπασε, Μαΐου τῇ ιζ', ἡμέρᾳ Τρίτῃ περιβληθεὶς τὸ βασιλικὸν ἔνδυμα (συνόντων αὐτῷ δύο καθῃρημένων ἀρχιερέων, Μητροφάνους τοῦ Ἀχριδῶν καὶ Ἰωάσαφ τοῦ πρώην Σερρῶν), παρὰ τοῦ Ἐπιτρόπου Χουσεὶν πασσᾶ.

1623—

ΚΕΦ. ΚΓ'.

Πατριαρχεία τοῦ Ἀδριανουπόλεως Ἀνθίμου.

Καὶ μετὰ μῆνας τρεῖς, Αὐγούστου ιζ', ἡμέρᾳ Τετάρτῃ πρὸς τὸ ἑσπέρας, παραδοθεὶς ὁ Γρηγόριος σιδηροδέσμιος τῷ Ἀχμὲτ-ἀγᾷ εἰς τὴν Ῥόδον ἐξωρίσθη· καὶ τὸ πρωῒ τῆς ἑπομένης Πέμπτης ἔνδυμα βασιλικὸν ἐνδυθεὶς παρὰ τοῦ αὐτοῦ Ἐπιτρόπου Χουσεῖν-πασσᾶ ὁ ποτὲ Ἀδριανουπόλεως Ἄνθιμος μετὰ τῶν παρευρεθέντων ἀρχιερέων τε καὶ κληρικῶν, οὐκ ὀλίγων ὄντων, μετετέθη εἰς τὸν θρόνον τῆς Κωνσταντινουπόλεως τὸν πατριαρχικόν. Ἐπὶ τούτου οἱ ἐν Κωνσταντινουπόλει παρευρεθέντες ἀρχιερεῖς ἀφορισμῷ καὶ ἀναθέματι ὑπέβαλον τὸν ἐξωσθέντα Γρηγόριον.

Κατὰ τοῦτον δὲ τὸν χρόνον τὸ τοῦ πατριαρχείου χρέος ἦν πλεῖον τῶν ἑβδομήκοντα φορτίων ἄσπρων.

Πατριαρχεύσας οὖν ὁ Ἄνθιμος ἡμέρας πεντήκοντα ἑκὼν παρητήσατο, τῇ θ' τοῦ Ὀκτωβρίου τοῦδε τοῦ ἔτους, καὶ ἀπελθὼν ἐν τῇ τοῦ Ἁγίου Ἀθανασίου λαύρᾳ τῇ ἐν τῷ Ἄθωνι κατῴκησε.

Μετὰ τοῦτον τάττουσί τινες Φίλιππόν τινα.

Δευτέρα πατριαρχεία Κυριλλου τοῦ Λουκάρεως.

Ὅθεν βασιλεύοντος τοῦ σουλτὰν Μουρὰτ τοῦ Δ' ἀνακαλεῖται ἐκ τῆς ἐξορίας Κύριλλος ὁ Λούκαρις, καὶ ἀναβιβάζεται εἰς τὸν οἰκεῖον θρόνον τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως· κἀν τούτοις ὁ Χαλκηδόνος Ἰσαὰκ πατριαρχεῦσαι βουληθεὶς ἀνακαλύπτεται, καὶ κωλυθεὶς εἰς τὴν Οὐγγρίαν ἐξορίζεται.

Ὁ Ἀμπαζᾶ-πασσᾶς, ἡγεμὼν εἰς τὸ Ἐρζροὺμ, εἶχεν ἀποστατήσει ἐπὶ τοῦ σουλτὰν Μουσταφᾶ. Ὅθεν ὁ σουλτὰν Μουρὰτ πέμψας τὸν βεζίρην Τζερκὲζ-Μεχμὲτ-πασσᾶν τροποῦται αὐτὸν παρὰ τῇ Καισαρείᾳ καὶ ἀναγκάζει φυγεῖν εἰς τὸ Ἐρζρούμ· ἀλλὰ μετὰ τὴν νίκην θνήσκει ὁ βεζίρης εἰς τὸ Τοκάτι.

Εἶτα ὁ σουλτὰν Μουρὰτ διορίζει τὸν Χαφὶζ-Ἀλὶ-πασσᾶν, ἡγεμόνα τοῦ Διαρπεκίρ, ἀπελθεῖν σὺν στρατῷ καὶ πολιορκῆσαι τὸ ὑπὸ τοῖς Πέρσαις Βαγδάτι.

Ἐν τῷ Εὐξείνῳ Πόντῳ παρὰ τῇ Χηλῇ, ἐν τῇ κώμῃ Σταυριᾷ, ἀπεχούσῃ τοῦ ἱεροῦ τοῦ Ἁγίου Εὐθυμίου μίλια 70, ἔστι παρακείμενον νησίδιον ἐφ' ᾧ ἦν μοναστήριον τῆς Θεοτόκου· διὰ δὲ τὸ φιλοξενηθῆναι ἐκεῖ ῥώσσους λῃστὰς μετὰ τὸ 1600 ἔτος ὁ Πιαλὶ-πασσᾶς ἀπελθὼν μετὰ ὀθωμανικοῦ στόλου κατέ-

—1626

στρεψε τὸ μοναστήριον καὶ τοὺς πατέρας διεσκόρπισε· τὰ αὐτὰ καὶ διὰ τὴν αὐτὴν αἰτίαν τότε ἔπαθε τὸ μοναστήριον τοῦ Ἁγίου Γεωργίου τὸ ἐν τῇ Θυνίᾳ νήσῳ· ἀλλὰ καὶ τὸ τοῦ Προδρόμου τὸ ἐν τῇ Σωζουπόλει· ἀπελθόντων γὰρ τῶν Ὀθωμανῶν συλλαβεῖν τοὺς ἐκεῖσε καταφυγόντας Ῥώσσους, ἐπειδὴ οἱ Ῥῶσσοι ἐπολέμησαν αὐτοῖς, οἱ Ὀθωμανοὶ πέμψαντες ὕστερον κατηδάφισαν αὐτό.

Ἐλθὼν ὁ Χαφὶζ-Ἀλὶ-πασσᾶς πολιορκεῖ τὸ Βαγδάτι ἐπὶ μῆνας ὅλους πέντε σφοδρότατα, καὶ μετὰ πολλὴν φθορὰν τῶν οἰκείων βιάζεται λύσαι τὴν πολιορκίαν διὰ τὴν τοῦ χειμῶνος ἐπέλευσιν καὶ ἐπανακάμψαι εἰς τὸ Χαλέπι.

Βουληθέντων τῶν ἀρχιερέων, ὡς ἔθος αὐτοῖς, ἐκβαλεῖν τοῦ θρόνου τὸν Κύριλλον, αὐτὸς χρησάμενος κατασκευῇ ἐνδύεται καβάδιον, καὶ ἔρχεται ἀκόντων αὐτῶν εἰς τὸ πατριαρχεῖον· ὅρα Δοσίθ. βιβλ. ιά. κεφ. θ'. § Β'.

—

Ἔτει σωτηρίῳ 1625, τοῦ Χιτζρὲ 1035.

Ὁ Χαφὶζ-Ἀλὶ-πασσᾶς φθάσας εἰς τὸ Χαλέπι καθαιρεῖται τῆς ἀρχῆς ὑπὸ τοῦ σουλτάνου, καὶ γίνεται βεζίρης ὁ Χαλὶλ-πασσᾶς, μὲ προσταγὴν ν' ἀκολουθήσῃ σφοδρῶς καὶ ἐπιμελῶς τὸν κατὰ τῶν Περσῶν πόλεμον. Ἀλλ' αὐτὸς νομίσας ἀναγκαίαν τὴν ἐξολόθρευσιν τοῦ προρρηθέντος Ἀμπαζᾶ-πασσᾶ, ἐλθὼν πολιορκεῖ αὐτὸν ἐν τῇ πόλει Ἐρζρούμ. Ἀνθίσταται ὁ Ἀμπαζᾶ-πασσᾶς γενναίως ταῖς ἐφόδοις τῶν πολεμούντων, καὶ οὐκ ἀρκεσθεὶς τούτῳ, ἐξελθὼν σὺν ὀλίγοις κατακόπτει πολλοὺς καὶ ζωγρεῖ περισσοτέρους τῶν πολιορκούντων, τέλος φυγαδεύει αὐτούς, καὶ ὁ Χαλὶλ-πασσᾶς σὺν ὀλίγοις φυγῇ τὴν σωτηρίαν εὕρατο. Ὅθεν φθάσας εἰς τὸ Διαρπεκὶρ καθαιρεῖται τῆς ἀρχῆς ὁ Χαλὶλ-πασσᾶς ὑπὸ τοῦ σουλτάνου, καὶ γίνεται βεζίρης ὁ Χοσρὲβ-πασσᾶς.

Οἱ ἰησουῖται οὐκ ἀρκεσθέντες ταῖς σφῶν ῥᾳδιουργίαις, δι' ὧν ἐνδελεχῶς ἐτάραττον τοὺς ἐν τῇ Δύσει βασιλεῖς τε καὶ ἡγεμόνας καὶ τὰς ὑπ' αὐτοῖς ἐκκλησίας, κακογνωμόνως ἠβουλήθησαν διαταράξαι καὶ τὴν Ἀνατολικὴν ἐκκλησίαν. Ὅθεν διέβαλον οὕτω πικρῶς πρὸς τὴν ὀθωμανικὴν αὐλὴν τὸν Οἰκουμενικὸν πατριάρχην Κύριλλον τὸν Λούκαριν, ὥστε μικροῦ ἐδέησεν αὐτὸν ἐκβληθῆναι τοῦ πατριαρχικοῦ θρόνου ὑπὸ τοῦ σουλτὰν Μουράτ. Ἀλλ' ἀνακαλυφθείσης τῆς τῶν ἰησουϊτῶν σκευωρίας, αὐτὸς μὲν ὁ Κύριλλος τῷ θρόνῳ ἐπεβεβαιώθη, ἐκεῖνοι δὲ ἀτίμως τῆς Κωνσταντινουπόλεως ἐδιώχθησαν. Διὰ ταῦτα οὖν ἀγανακτήσαντες οἱ ἰησουῖται συκοφαντοῦσιν αὐτὸν καλδινοφρονεῖν λέγοντες.

—

Ἔτει σωτηρίῳ 1626, τοῦ Χιτζρὲ 1036.

Ὁ τοίνυν Χοσρὲβ-πασσᾶς ἔαρος φανέντος ἀπάρας ἀπὸ τὸ Διαρπεκὶρ ἔρχεται πρὸς τὸ Ἐρζροὺμ, οὐ μόνον μετὰ πολλοῦ στρατοῦ ἀλλὰ καὶ μετὰ μηχανῶν πολλῶν καὶ ἑλεπόλεων, καὶ προσβαλὼν τούτοις κατὰ τῶν τῆς

πόλεως τειχῶν οὕτως ἐφοβέρισε τοὺς κατοικητὰς καὶ τοὺς τοῦ Ἀμπαζᾶ στρατιώτας, ὥστε μετὰ τὴν πέμπτην ἡμέραν τῆς πολιορκίας ὑποταγῆναι ἐθελουσίως, καὶ τὸν Ἀμπαζᾶν ἑκουσίως παραδοθῆναι τῷ βεζίρῃ Χοσρὲβ-πασσᾷ, ὅστις σιδηροδέσμιον πέμπει αὐτὸν εἰς τὸν σουλτὰν Μουράτ. Ἀλλ' ὁ σουλτάνος ἀποβλέψας εἰς τὴν ἀνδρείαν καὶ ἀνδραγαθήματά του, λησμονεῖ τὴν προδοσίαν του, δὲν τὸν φονεύει ὡς ἀντάρτην καὶ τὸν συγχωρεῖ ὡς ἀνδρεῖον· καὶ ἐλέγξας αὐτὸν διὰ τὴν ἀνταρσίαν του εἶπεν αὐτῷ ὅτι θέλει τὴν ξεπλύνει μὲ τὰς κατὰ τῶν ἐχθρῶν τῆς βασιλείας νίκας· ὅθεν ἀναδείξας αὐτὸν ἡγεμόνα τῆς Βόσνας ἔπεμψεν ἐκεῖ διὰ νὰ ἀντιμάχηται κατὰ τῶν ἐφόδων τῆς Γερμανίας, ἂν ἀκολουθήσουν ἐν τούτῳ τῷ διαστήματι ὁποῦ τανῦν ἔχει ὁ σουλτάνος ἐφόδους κατὰ τῆς Περσίας.

—

Ἔτει σωτηρίῳ 1629, τοῦ Χιτζρὲ 1039.

Αἱ οἰκιακαὶ ταραχαὶ καὶ ἐμφύλιοι πόλεμοι ἀφοῦ ἔπαυσαν ὁλοκλήρως, ὁ σουλτὰν Μουρὰτ τούτῳ τῷ ἔτει πέμπει τὸν αὐτὸν Χοσρὲβ-πασσᾶν διὰ νὰ ὑποτάξῃ τὸ ὑπὸ τοῖς Πέρσαις Βαγδάτι· ὅστις διαχειμάσας εἰς τὸ Μουσοῦλι προητοιμάσθη ἀποχρώντως ἐν πᾶσι, καὶ ἦρος φανέντος ἐφορμήσας λεηλατεῖ τὴν ἐπαρχίαν τῆς Περσίας Ἀρὰκ, κόπτει πᾶσαν κοινωνίαν καὶ δοσοληψίαν εἰς τὰς περὶ τὸ Βαγδάτι ἐπαρχίας, ὑποτάσσει ὀχυρώματα καὶ κατακρημνίζει ἃ οὐκ ἐξῆν διαφυλάξαι, καὶ μὲ τοιαύτας προετοιμασίας ἤρξατο τῆς τοῦ Βαγδατίου πολιορκίας, καὶ πολιορκήσας αὐτὸ σφοδρότατα ἡμέρας τεσσαράκοντα πρὸς τῇ μιᾷ, καὶ ἀπολέσας λαοῦ καὶ στρατιωτῶν πλεῖστον ὅσον, ἐβιάσθη καὶ ἄκων λύσαι τὴν πολιορκίαν, διὰ νὰ μὴν ἀπολέσῃ καὶ ἄλλους ἢ σχεδὸν ὅλους.

—

Ἔτει σωτηρίῳ 1630, τοῦ Χιτζρὲ 1040.

Ἀκούσαντες οἱ Ῥῶσσοι τὰς τῶν ἰησουϊτῶν κατὰ τοῦ Λουκάρεως συκοφαντίας ἔπεμψαν πρὸς Θεοφάνην τῶν Ἱεροσολύμων πατριάρχην, διάγοντα τότε ἐν Γιασίῳ τῆς Μολδοβίας, ἐρωτῶντες εἰ ἀληθῆ ταῦτα οἱ ἰησουῖται φασί. Πρὸς οὓς ὁ Θεοφάνης, κεφάλαια 16 συνταξάμενος, ἀμέτοχον τὸν σοφώτατον Κύριλλον καὶ τὴν Ἀνατολικὴν ἐκκλησίαν τῆς τοιαύτης συκοφαντίας εἶναι ἀπέδειξεν.

Ἐν τῇ Ῥώμῃ οἱ καρδινάλιοι ἀθροισθέντες διετάξαντο κεχρῆσθαι τοῦ λοιποῦ πρὸς αὐτοὺς τῷ τίτλῳ τοῦ ρεβερενδίσιμος καὶ εμινεντίσιμος, ἤτοι εὐλαβέστατος καὶ ἐξοχώτατος· καὶ ἐδεήθησαν τοῦ πάπα Οὐρβανοῦ Η' δι' οἰκείου θεσπίσματος ἀπαγορεῦσαι τὸ μηδένα τῶν ἄλλων ἐκκλησιαστικῶν τοῦ λοιποῦ διὰ τοιούτου τίτλου καλεῖσθαι, ἢ μόνον τοὺς ἐλέκτορας τῆς ῥωμαϊκῆς αὐτοκρατορίας, τὸν μάγιστρον τοῦ ἱεροσολυμικοῦ ὁσπιταλίου καὶ αὐτοὺς τοὺς καρδιναλίους.

—

Ἔτει σωτηρίῳ 1631, τοῦ Χιτζρὲ 1041.

Ὁ μετὰ τὴν ἔξωσιν τοῦ Ἀμπαζᾶ-πασσᾶ ἡγεμὼν εἰς τὸ Ἐρζοὺμ γενόμενος, Ἠλιὰς-πασσᾶς, ἀποστατεῖ κατὰ τοῦ σουλτὰν Μουρὰτ καὶ ἐξουσιάζει τὸ Ἐρζρούμ. Ἀλλ' ὁ Κιουτζοὺκ-Μεχμὲτ-πασσᾶς πεμφθεὶς καταπολεμεῖ αὐτὸν καὶ ζωγρήσας πέμπει σιδηροδέσμιον εἰς τὸν σουλτὰν Μουρὰτ, ὅστις καρατομεῖ αὐτὸν ἐν τῇ λεωφόρῳ τῆς Κωνσταντινουπόλεως.

Ἐπὶ τοῦ πατριάρχου Λουκάρεως προσηνέχθη τῇ Κωνσταντινουπόλει βιβλίον τυπωθὲν ἐν Γινέβρῃ, περιέχον κεφάλαια 18 καὶ τέσσαρας ἐρωτήσεις καλβινισμοῦ γεμούσας, οὗ ἡ ἐπιγραφὴ οὕτως εἶχε: Κύριλλος πατριάρχης Κωνσταντινουπόλεως, τοῖς ἐρωτῶσι καὶ πυνθανομένοις περὶ τῆς πίστεως καὶ θρησκείας τῆς τῶν Γραικῶν κτλ., ἃ πάντα Μελέτιος ὁ Συρίγου ἀνατρέπει ἐν ταῖς Ἀντιρρήσεσι ταῖς κατὰ τῶν καλβινικῶν κεφαλαίων καὶ ἐρωτήσεων Κυρίλλου τοῦ Λουκάρεως, τυπωθείσαις ἐν Βουκουρεστίῳ τῆς Οὐγγροβλαχίας, ἔτει 1700. Ὅρα Δοσίθ. ἐν τῷ περὶ τῶν ἐν Ἱεροσολ. πατρ. βιβλ. ιά. κεφ. ί. σελ. 1171.

—

Ἔτει σωτηρίῳ 1632, τοῦ Χιτζρὲ 1042.

Ὁ Ῥουστὲμ-χάνης, στρατηγὸς τῶν Περσῶν, ἐφορμήσας λῃΐζεται τὰς ἐπαρχίας τῶν Ὀθωμανῶν τὰς περὶ τὴν πόλιν Βάν· εἶτα πολιορκεῖ καὶ τὸ Βὰν σφοδρότατα, καὶ κατέστρεφεν ἂν αὐτὸ εἰ μὴ ἐλθὼν ὁ μπεϊλέρπεης τῆς Ῥούμελης δυνάμεσι τῆς Εὐρώπης ἔλυσε τὴν πολιορκίαν φυγαδεύσας τοὺς Πέρσας.

ΚΕΦ. ΚΔ'.

Πατριαρχεία Κυρίλλου τοῦ ἀπὸ Βερροίας, καὶ τρίτη πατριαρχεία τοῦ Λουκάρεως, καὶ πατριαρχεία Ἀθανασίου τοῦ Πατελαρίου, καὶ τετάρτη πατριαρχεία τοῦ Λουκάρεως.

Κύριλλος ὁ ἀπὸ Βερροίας, φατριάσας μετά τινων ἀρχιερέων καὶ τοῦ Ἀμασείας Ζαχαρίου, ἔνδυμα περιβληθεὶς παρὰ τοῦ σουλτὰν Μουρὰτ, τῇ ς'

τοῦ Ὀκτωβρίου, πατριάρχης Κωνσταντινουπόλεως ἀνεκηρύχθη· ἀλλὰ κρυβεὶς ὁ Λούκαρις παρὰ τῷ πρέσβει φιαμέγκῳ ἐξορίζει καὶ τοὺς δύο τῇ ιά τοῦ αὐτοῦ μηνὸς εἰς τὴν νῆσον τῆς Τενέδου. Διὰ δὲ τὸν φόβον τῶν ὑπερασπιστῶν αὐτοῦ ἀθωωθεὶς τῆς καταδρομῆς εἰς Βέρροιαν τὴν αὐτοῦ ἐπαρχίαν ἐξεπέμφθη ὁ Κύριλλος, θανόντος τοῦ Ἀμασείας ἐν τῇ ἐξορίᾳ.

Τρίτη πατριαρχεία τοῦ Λουκάρεως.

Ἀνοίχθη οὖν πάλιν τὸ τρίτον εἰς τὸν Οἰκουμενικὸν θρόνον ὁ γνήσιος ποιμὴν Κύριλλος ὁ Λούκαρις. Τούτῳ τῷ ἔτει τὸ χρέος τοῦ πατριαρχείου πολλῷ πλεῖον ἦν τοῦ ἀνωτέρω προρρηθέντος.

—

Ἔτει σωτηρίῳ **1633**, τοῦ Χιτζρὲ **1043**.

Πατριαρχεία Ἀθανασίου τοῦ Πατελαρίου.

Τῇ ἕκτῃ τοῦ Μαρτίου ἔνδυμα παρὰ τοῦ σουλτὰν Μουρὰτ περιβληθεὶς Ἀθανάσιος ὁ Κρὴς ὁ ἐπονομαζόμενος Πατελάριος, μητροπολίτης Θεσσαλονίκης, διὰ τῆς ἐπικουρίας τοῦ καπετὰν-πασσᾶ τοὔνομα Τζαφὲρ, καὶ ἐξορίσας Κύριλλον τὸν Λούκαριν εἰς τὴν Τένεδον, ἐπέβη τοῦ πατριαρχικοῦ θρόνου· ἀλλὰ μετὰ ἡμέρας **40**, κατὰ τὴν ἑβδομάδα τῶν Ἁγίων Παθῶν, ἐξορισθεὶς τῇ τῶν μητροπολιτῶν συνεργείᾳ, ἀπεπέμφθη εἰς τὴν ἰδίαν ἐπαρχίαν Θεσσαλονίκην.

Τετάρτη πατριαρχεία Κυρίλλου τοῦ Λουκάρεως.

Καὶ διὰ τῆς συνεργείας τῶν αὐτῶν μητροπολιτῶν ἐπανακάμψας τῆς ἐξορίας ἀποκατέστη τὸ τέταρτον εἰς τὸν ἴδιον θρόνον ὁ γνήσιος ποιμὴν αὐτοῦ, καὶ ἤδη γέρων, Κύριλλος ὁ Λούκαρις. Ὁ δὲ Πατελάριος εἰς τὴν Ἀγκῶνα τῆς Ἰταλίας ἀπῆλθε, διανοούμενος ἀπελθεῖν εἰς τὴν Ῥώμην· ὅθεν ἐκεῖθεν γράψας πρὸς τὸν τότε πάπαν Οὐρβανὸν τὸν Η', ἢ κατ' ἄλλους Κάλλιστον, πέμπει τὰ γράμματα διὰ Καλλίστου τοῦ Δρυϊνουπόλεως ἐπισκόπου· ᾔτει δὲ διὰ τῶν γραμμάτων τὸ μετὰ τὸ παραγενέσθαι αὐτὸν εἰς τὴν Ῥώμην ἔχειν τὸν θρόνον τῆς Κωνσταντινουπόλεως. Ἀλλ' ὁ πάπας ἀπεκρίθη αὐτῷ τὸ, ἐὰν τῇ τῆς ῥωμαϊκῆς πίστεως ὁμολογίᾳ ὑπογράψῃ ἔξειν τὸν θρόνον τοῦ ἑβδομηκοστοῦ τρίτου καρδινάλιος· ὅθεν δυσχεράνας ὁ Πατελάριος ἀπῆλθεν εἰς τὴν Μολδοβλαχίαν.

Κύριλλος ὁ Λούκαρις τὸν Νικόδημον Μεταξᾶν ἀρχιεπίσκοπον Κεφαλληνίας καὶ Ζακύνθου χειροτονήσας, ἀπέσπασε τὰς νήσους ταύτας ἀπὸ τῆς Κορίνθου, ἀπὸ τοῦ καιροῦ τῶν Ἀποστόλων ὑπ' ἐκείνῃ τελούσας. Ὅθεν παρανόμως τοῦτο κατετόλμησεν· εἰ δὲ εἴποι τις ὅτι βασιλεῖς καὶ πατριάρχαι ἰσχύουσι τοιαῦτα ποιεῖν, ψεύδεται. Νικόλαος γὰρ ὁ Κωνσταντινουπόλεως ἔλεγεν Ἀλεξίῳ τῷ βασιλεῖ, ἐρρῶσθαι βασιλέως ἀντιγραφὴν ἐφ' οἷς οὐ βλάπτεται ἕτερος, οὐμὴν καὶ ἀεί. Ὅθεν τὸ Ῥίζαιον ἐπὶ Γερμανοῦ τοῦ ὁμολογητοῦ ἐγένετο ἀρχιεπισκοπὴ, ἀλλὰ μετὰ ἔτη **200**, ἐπὶ Θεοφυλάκτου καὶ Ῥωμανοῦ, ἐδόθη Νικηφόρῳ τῷ Νεοκαισαρείας.

Ὁ αὐτὸς Κύριλλος ἀνενέωσε τὸ σιγγιλιῶδες γράμμα τῆς μονῆς τῆς Θεοτόκου, ἐπιλεγομένης τοῦ Φιλοσόφου, κειμένης ἐν τῇ Πελοποννήσῳ, ἣν ἀνήγειρεν ἐκ βάθρων Ἰωάννης ὁ Λαμπερδόπουλος, Πρωτασηκρήτης καὶ φιλόσοφος, καὶ ἐποίησεν αὐτὴν ὁ πατριάρχης Πολύευκτος σταυροπήγιον τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως.

Τὸ ἐν Γιασίῳ μοναστήριον Βορνόβσκη τούτῳ τῷ ἔτει ἀφιερώθη τῷ Παναγίῳ Τάφῳ, τῇ ἐπιμελείᾳ τοῦ Κωνσταντινουπόλεως Κυρίλλου τοῦ Λουκάρεως. Διέτριψα κἀγὼ ἐν αὐτῷ μειράκιον ὢν καὶ παιδευόμενος τὰ ἐγκύκλια ὑπὸ τῷ ἐν πρεσβυτέροις διδασκάλῳ Ναθαναὴλ Χίῳ τῷ Καλλονάρῃ, ἀπὸ ἔτους **1724** μέχρις ἔτους **1727**, καθ' ὃ ἐμαζηλεύθη ὁ ἡγεμὼν τῆς Μολδαβίας Μιχαὴλ Τζιχάνης ὁ Ῥακοβίτζας, καὶ ἐγένετο ἀπὸ Δραγομάνου Γρηγόριος ὁ Γκίκας, καὶ συναπῆλθε καὶ ὁ διδάσκαλος σὺν τῷ καθαιρεθέντι ἡγεμόνι· ἦν γὰρ διδάσκαλος τῶν τεσσάρων αὐτοῦ υἱῶν. Ἐγὼ δὲ ἔμεινα ἐν Γισσίῳ παρὰ τῷ συγγενεῖ Ἰωάννῃ Ἄγᾳ τῷ Ὑψηλάντῃ, προσμένων τὸν μακαρίτην γεννήτορά μου Θεόδωρον, ἐλθεῖν μέλλοντα μετὰ τοῦ νέου ἡγεμόνος μὲ τὸ ὀφφίκιον τοῦ Καμαράση τῶν Ὀκνῶν.

Ἠγάπα δὲ Κύριλλος ὁ Λούκαρις τὸν Ἅγιον Τάφον εὐλαβούμενος σφόδρα· ὅθεν καὶ τῷ πατριάρχῃ τῆς Ἱερουσαλὴμ Θεοφάνει πολλὰ ἐβοήθησε καὶ τρόποις διαφόροις εἰς τὰς ἐνοχλήσεις καὶ πολέμους ὁπού εἶχε παρὰ τῶν Λατίνων.

Ὁ ῥηθεὶς Νικόδημος ὁ Μεταξᾶς μετὰ καὶ ἄλλων τινῶν ἔφεραν εἰς τὴν Κωνσταντινούπολιν τυπογραφίαν καὶ ἐτύπωσαν τὸ Σύνταγμα τοῦ Παλαμᾶ καὶ τοῦ Σχολαρίου, καὶ τὸν Διάλογον τοῦ Μαργουνίου Περὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, καὶ Ἐπιστολὰς τοῦ Ἀλεξανδρείας Μελετίου τοῦ Πηγᾶ, καὶ τὸ τοῦ μοναχοῦ Βαρλαὰμ Κατὰ τοῦ Καθαρτηρίου πυρὸς, καὶ τὸ τοῦ Φιλαδελφείας Γαβριὴλ Κατὰ τῶν πέντε Διαφορῶν. Ὅθεν οἱ ἐν τῷ Σταυροδρόμι παπισταὶ Φραντζέζοι ταῦτα ἰδόντες ἔδωκαν δῶρα πολλὰ καὶ πλῆθος χρημάτων πρὸς τοὺς κρατοῦντας ἐθνικοὺς, ἵνα ῥίψωσιν ἐν τῇ θαλάσσῃ τὴν τυπογραφίαν, ὃ καὶ ἐγένετο.

Ἀρμένιός τις πραγματευτὴς ἐλθὼν ἀπὸ τῶν ἀνατολικῶν Ἰνδιῶν εἶπε τῷ πατριάρχῃ τὸ ὅτι ἐν τῇ Ἰνδίᾳ εἰσὶ λαῶν πλῆθη ἄπειρα ὁμοφωνοῦντα τῇ Ἀνατολικῇ ἐκκλησίᾳ καὶ παρενοχλούμενα ὑπὸ τῶν παπιστῶν· καὶ δέονται αὐτοῦ ἀποστεῖλαι σοφόν τινα ἄνδρα εἰς βοήθειαν αὐτῶν, ἵνα μὴ ὑπὸ τῶν παπιστῶν ἀπατῶνται. Ἀλλ' ὁ μὲν πατριάρχης, καίτοι Οἰκουμενικὸς, οὐκ ἠδυνήθη μεταχειρίσασθαι τὸν τίτλον ἐν οἷς αὐτὸν ἡ καθολικὴ ἐκκλησία ἐδέξατο, καὶ παρέβλεψε διὰ τὰς κατ' αὐτοῦ καταδρομὰς τῶν ἐπὶ τοῦ θρόνου ἐπιπηδῆσαι ἐφιεμένων· οἱ δὲ περὶ αὐτὸν ἀρχιερεῖς, συλλογιζόμενοι μόνον τὸ φατριάζειν πρὸς ἀλλαξοπατριαρχείαν, οὐκ εἶχον καιρὸν τὴν περὶ τούτου σκέψιν ποιήσασθαι. Ὅθεν καὶ ὁ πατριάρχης, τῷ Οἰκουμενικὸς ἐν μόναις

ταῖς καταδυναστείαις καὶ ἁρπαγαῖς χρώμενος,ἐφρόντιζε χρηματολογεῖν ἵνα ἔχῃ ἔξοδα μετὰ τὴν ὁσημέραι ἐπαπειλουμένην καὶ ὑποπτευομένην ἔξωσιν, ὡς καὶ πάντες οἱ μετ' αὐτὸν οὕτω ποιεῖν ἐσυνείθισαν, χρηματολογοῦντες διὰ τὸν ἐνδεχόμενον ἀπὸ τοῦ θρόνου καταβιβασμόν.

Ἐκστρατεύει κατὰ τῶν Λέχων ὁ σουλτὰν Μουρὰτ ὑπὸ στρατηγοῖς τῷ Μουρταζᾶ-πασσᾷ καὶ τῷ Ζαμπολὰδ-ζαδέ. Διέπλευσεν ὁ στρατὸς τὸν Δούναβιν εἰς τὸ Γίργιοβον, πόλιν τῆς Οὐγγροβλαχίας, καὶ στρατοπεδεύσαντας ἐκεῖ ἔρχονται πρὸς αὐτοὺς οἱ πρέσβεις τῶν Λέχων ζητοῦντες τὴν εἰρήνην. Οἱ στρατηγοὶ πέμπουσιν αὐτοὺς πρὸς τὸν σουλτὰν Μουρὰτ, ὅστις εἰρηνοποιεῖ μετὰ τῆς Λεχίας ἐπὶ συμφωνίαις ἐπωφελέσι τῇ ἑαυτοῦ βασιλείᾳ.

Διὰ προγράμματος δίδει ἄδειαν ὁ σουλτὰν Μουρὰτ νὰ πωλῆται τὸ κρασὶ φανερῶς εἰς τὰ οἰνοπωλεῖα καὶ ἀκωλύτως, καὶ νὰ πίνῃ ὁ καθεὶς ὅσον θέλει· ἐμποδίζει τοὺς καχβενέδες, καὶ ἐπαιδεύοντο δεινῶς ἐκεῖνοι ὁποῦ ἤνοιγαν τοιαῦτα ἐργαστήρια.

—

Ἔτει σωτηρίῳ 1634, τοῦ Χιτζρὲ 1044.

Ὁ σουλτὰν Μουρὰτ ἐκστρατεύει αὐτοπροσώπως κατὰ τῆς Περσίας καὶ πορεύεται πρὸς τὸ Βαγδάτ. Καθ' ὁδὸν ἐφορμᾷ κατὰ τῆς πόλεως Ρεβὰν, ἥντινα πρὸ μικροῦ εἶχον ὑποτάξει οἱ Πέρσαι· μετὰ ἡμερῶν ὀκτὼ πολιορκίαν ὑποτάσσεται ἡ πόλις ἑκουσίως τῷ σουλτὰν Μουρὰτ, ὅστις ἀφεὶς τοὺς ἐν αὐτῇ Πέρσας ἐλευθέρους κρατεῖ παρ' ἑαυτῷ μόνον τὸν ἡγεμόνα τοῦ Ρεβὰν, Ἐμιργκιὲν-ὀγλοὺν, ὅν τινα πέμπει εἰς τὴν Πόλιν. Εἶτα διατρίβει ὁ σουλτὰν Μουρὰτ καιρόν τινα εἰς τὴν πόλιν Τέβρις, ἀνακαινίζων καὶ ὀχυρῶν τὰ περιξ ὀχυρώματα.

Τούτῳ τῷ ἔτει γίνεται αὐθέντης τῆς Μολδαβίας ὁ Βασίλειος βοεβόδας ὁ Ἀρβανίτης, καὶ ἡγεμονεύσας ἀρίστως μέχρι τοῦ ἔτους 1654 διώκεται ὑπὸ τοῦ ἀντάρτου Στεφάνου Γεωργίου, υἱοῦ τοῦ Δημητράσκου Λογοθέτου.

—

Ἔτει σωτηρίῳ 1635, τοῦ Χιτζρὲ 1045.

Ὁ σουλτὰν Μουρὰτ περὶ τὰ τέλη τοῦ Ὀκτωβρίου τοῦδε τοῦ ἔτους εἰσέρχεται εἰς τὴν Κωνσταντινούπολιν σὺν τῷ στρατῷ νικητής.

Ὁ αἱχμάλωτος Ἐμιργκιὲν-ὀγλοὺς διὰ τῆς εἰς τὴν μουσικὴν προκοπῆς του ἀποκτᾷ τὸ θάρρος καὶ τὴν εὔνοιαν τοῦ σουλτὰν Μουρὰτ, καὶ σύμβουλος αὐτοῦ ἐγένετο· καὶ ἐν τῷ εὐωχεῖσθαι καὶ οἰνοποτεῖν τὸν Μουρὰτ καθ' ἡμέραν παρῆν μόνος ὁ Ἐμιργκιὲν-ὀγλοὺς σὺν τῷ μπεκρῇ-Μουσταφᾷ· ἔκτισε δὲ ὁ Ἐμιργκιὲν-ὀγλοὺς καὶ παλάτιον ἐν τῷ Βοσπόρῳ μέχρι τοῦδε σωζόμενον παρὰ τῷ Σωσθενείῳ, καὶ συνεχῶς ὁ σουλτὰν Μουρὰτ ἐρχόμενος συνευωχεῖτο καὶ συνέπινε τῳ Ἐμιργκιὲν-ὀγλού. Μιᾷ δὲ τῶν ἡμερῶν ὄντος ἐκεῖ τοῦ σουλτάνου ἔλαχε νὰ περάσῃ μὲ τὸ καΐκι Ρωμαῖός τις τῶν εὐγενῶν, καὶ ἐτραγῴδει μπεστὲν εἰς γλῶσσαν περσικήν. Ἀκούσας τῆς φωνῆς ὁ Ἐμιγκιὲν-ὀ-

γλοὺς συγκαθήμενος τῷ βασιλεῖ, ἤνοιξε τὸ τζάμι διὰ νὰ ἀκούσῃ καλήτερα. Ὁ Ρωμαῖος ἰδὼν αὐτὸν ἐσιώπησεν· ἀλλ' ὁ Ἐμιργκιὲν-ὀγλοὺς κατελθὼν εἰς τὸ περιγιάλι παρεκάλει αὐτὸν, ὁρκίζων ἐπ' ὀνόματι τοῦ θεοῦ καὶ τοῦ Ἰησοῦ Χριστοῦ, νὰ σταθῇ καὶ νὰ τελειώσῃ τὸν μπεστέν· οὗ γενομένου φιλοφρόνως ὑπεδέχθη αὐτὸν ὁ Ἐμιργκιὲν-ὀγλοὺς θαυμάζων τὴν εἰς τὴν μουσικὴν καὶ τὴν εἰς τὰ περσικὰ προκοπήν του, καὶ ἠρώτησεν αὐτὸν τίς ἂν εἴη· ἀκούσας δὲ αὐτὸν εἶναι Ρωμαῖον ὑποχείριον τῷ σουλτὰν Μουρὰτ, χαρίσας αὐτῷ δῶρον ἀξιόλογον ἀπέπεμψεν· εἶτα εἰσελθὼν πρὸς τὸν σουλτὰν Μουρὰτ εἶπεν: «Οἱ ὑποχείριοί Σου Ρωμαῖοι ἦσάν ποτε κύριοι αὐτῆς τῆς πόλεως, καὶ » αὐτὸς ὁποῦ τώρα εἶδον μὲ ἀπέδειξεν ὅτι νὰ ἦσαν ἄξιοι τῆς βασιλείας. » Οἱ ἱστορικοί μας ὁμολογοῦσι τὰς ἀρετὰς αὐτῶν, ἀλλ' ἐγὼ εἰς τόδε δὲν εἶ» χον συνομιλήσει τινὶ αὐτῶν ὁποῦ νὰ μὲ φανῇ ἄξιος διὰ τὴν ὑπόληψιν καὶ » φήμην ὁποῦ εἶχαν ἀποκτήσει εἰς τοὺς παρελθόντας χρόνους· καὶ ἂν ὅλοι » ὁμοιάζουν μὲ αὐτὸν ὁποῦ κατὰ συμβεβηκὸς τώρα ἔλαχε νὰ ἰδῶ, ἀνάγκη » νὰ ὁμολογήσω τὸ ὅτι ἦσαν ἄξιοι νὰ βασιλεύουν τούτων τῶν ἐπαρχιῶν· » κατὰ δὲ τὴν μουσικὴν ὑπερτερῶν ἐγὼ πάντας τοὺς ὁμογενεῖς μου, ἤθελα » νομίσει εὐτυχῆ ἐμαυτὸν ἂν ἐγινόμην μαθητὴς αὐτοῦ τοῦ Ρωμαίου. »

ΚΕΦ. ΚΕ'.

Δευτέρα πατριαρχεία Ἀθανασίου τοῦ Πατελαρίου, καὶ δευτέρα πατριαρχεία Κυρίλλου τοῦ ἀπὸ Βερρόιας, καὶ ἅλωσις τοῦ Βαγδατίου.

Ἐλθὼν ἀπὸ Μολδοβλαχίας ἐξαίφνης Ἀθανάσιος ὁ Πατελάριος πατριαρχεύει κατὰ μῆνα Μάρτιον, ἐξωσθέντος Κυρίλλου τοῦ Λουκάρεως καὶ εἰς τὴν Ρόδον ἐξορισθέντος· κἀν τῇ ἑορτῇ τῶν Ἁγίων Ἀποστόλων ἑρμηνεύσας τὸ, Σὺ εἶ Πέτρος καὶ τὰ ἑξῆς, κατὰ τὴν γνώμην τῶν θεολόγων, ἐλάλησε κατὰ τῆς ἀρχῆς τοῦ πάπα. Ἀλλ' ἐπελάβετο αὐτοῦ Ἀθανάσιος ὁ Κύπριος, καὶ κατὰ τῆς διδαχῆς αὐτοῦ τυπώσας ἐξέδωκεν· ὅθεν ἀπήντησεν αὐτῷ ἐν

βιβλίῳ κατὰ τῆς ἀρχῆς τοῦ πάπα ἀγωνιστικῶς τε καὶ ἀποδεικτικῶς Νικόλαος Κεραμεὺς ὁ ἰατροφιλόσοφος.

—

Ἔτει σωτηρίῳ 1636, τοῦ Χιτζρὲ 1046.

Οἱ Πέρσαι ἐλθόντες πολιορκοῦσι τὸ Βάν. Ὁ ἡγεμὼν αὐτοῦ Ἀμπαζᾶ-πασσᾶς ὁ προρρηθεὶς προμάχεται τῆς πόλεως μάλα ἀνδρείως μῆνας τέσσαρας. Τούτου δὲ θανόντος ὑποτάσσουσιν οἱ Πέρσαι τὸ Βὰν καὶ φονεύουσιν ἀνηλεῶς πάντας τοὺς ἐν αὐτῷ μουσουλμάνους. Ταῦτα μαθὼν ὁ σουλτὰν Μουρὰτ καταβιβάζει τῆς ἀρχῆς τὸν Μεχμὲτ πασσᾶν ὡς μὴ πέμψαντα δυνάμεις πρὸς βοήθειαν τῆς πολιορκουμένης πόλεως, καὶ κάμνει βεζίρην τὸν Παϊρὰμ-πασσᾶν, καὶ ἐκστρατεύει αὐτοπροσώπως κατὰ τῆς πόλεως Βαγδάτι, προπέμψας τὸν βεζίρην, καὶ ἀφῆκε τὸν Ἰπραὴμ-πασσᾶν καϊμακάμην εἰς τὴν Πόλιν.

Δευτέρα πατριαρχεία Κυρίλλου τοῦ ἀπὸ Βερρόιας.

Πατριαρχεύσας ἔτος ὁλόκληρον Ἀθανάσιος ὁ Πατελάριος ἐξοῦται, καὶ ἀνάγεται εἰς τὸν Οἰκουμενικὸν θρόνον, κατὰ μῆνα Μάρτιον, Κύριλλος ὁ ἀπὸ Βερρόιας, διὰ τῆς ἐπικουρίας τοῦ ῥηθέντος καϊμακάμη Ἰπραὴμ-πασσᾶ.

—

Ἔτει σωτηρίῳ 1637, τοῦ Χιτζρὲ 1047.

Ὁ Παϊρὰμ-πασσᾶς ἐποίησε τζαμὶ τὴν ἐν Κωνσταντινουπόλει ἐκκλησίαν τοῦ Προδρόμου, τὴν ἔσωθεν τῆς πύλης τῆς τοῦ Ἀδριανοῦ λεγομένης, ἥτις ἦν μονὴ μοναζουσῶν γυναικῶν.

Φθάσας εἰς τὸ Βαγδάτι ὁ σουλτὰν Μουρὰτ ἄρχεται τῆς πολιορκίας, θυμοῦ πεπληρωμένος καὶ ἐκδίκησιν κατὰ τῶν Περσῶν διαφόρως ζητῶν. Ὅθεν μηχαναὶ, τηλεβόλοι, ἐλεπόλεις ἀλλεπαλλήλως καὶ ἀδιακόπως, νύκτωρ καὶ μεθ' ἡμέραν ἐνηργοῦντο. Δὲν ὡμοίαζε τὸ πρᾶγμα πολέμῳ ἀλλ' ἀληθεῖ τινι καὶ καθ' αὐτὸ κρεωκοπείῳ· ὁ σίδηρος καὶ τὸ πῦρ πανταχόθεν ἠφάνιζον τοὺς πολεμοῦντας, καὶ ἐπ' ἀλλήλους σωρηδὸν οἱ νεκροὶ κατέκειντο· ἔφοδοι εἰς τὰ τείχη ἐπὶ ἐφόδοις ἀδιακόπως ἐγίνοντο. Ὁ σουλτὰν Μουρὰτ, ξίφος ἔχων ἀνὰ χεῖρας, ἔκοπτε μόνος του ἐκείνους τῶν στρατιωτῶν του ὁποῦ ἀπὸ τὸν πόλεμον μικρόν τι ἀπεμακρύνοντο· ἐφόνευσεν ἰδιοχείρως καὶ τὸν βεζίρην Παϊρὰμ-πασσᾶν, μὲ τὸ νὰ τὸν εἶδεν ὄχι πολλὰ πρόθυμον εἰς τὸ νὰ προχωρῇ ὅπου ὁ κίνδυνος τῆς ζωῆς ἦτο προφανής. Τέλος ὑποτάσσει τὸ Βαγδάτι καὶ ἀνηλεῶς φονεύει 30 χιλ. Πέρσας τοὺς ἐν αὐτῷ πρὸ τῶν ἰδίων ὀφθαλμῶν, καίτοι ῥίψαντας τὰ ὅπλα καὶ προσκυνήσαντας αὐτὸν ἐκοντί. Ἐν αὐτοῖς ἦν Πέρσης τις μουσικὸς, ὅστις φονευθῆναι μέλλων παρεκάλεσε νὰ λαλήσῃ πρῶτον τῷ σουλτὰν Μουρὰτ παρόντι· ἀπελθὼν εἶπεν αὐτῷ ὅτι οὐ μέλει τῆς

ἰδίας ζωῆς ἀλλὰ τῆς ἣν ἐπίσταται μουσικῆς. Δὲν τὸν ἐφόνευσε, μὲ σκοπὸν ν' ἀκούσῃ τῆς φωνῆς του· ὅθεν τῇ ὑστεραίᾳ μεταπεμψάμενος αὐτὸν ἔδωκεν ἄδειαν νὰ δείξῃ τὴν ἐπιστήμην του. Λαβὼν οὖν ἐξάχορδον, ἄλλως τ α μ π ο ῦ ρ ι, (ἐξάχορδον γὰρ ἦν τότε τὸ τ α μ π ο ῦ ρ ι), οὕτως ἐξετραγῴδησε τὴν ἅλωσιν τοῦ Βαγδατίου καὶ τὴν νίκην τοῦ σουλτὰν Μουρὰτ ὑπερύψωσεν, ὥστε καὶ αὐτὸν τὸν σουλτὰν Μουρὰτ κλαῦσαι πικρῶς. Ὅθεν αὐτῷ μὲν ἐχάρισε τὴν ζωὴν, ἠλευθέρωσε δὲ καὶ τοὺς λοιποὺς αἰχμαλώτους Πέρσας, καὶ τὸν μουσικὸν αὐτὸν, τοὔνομα σὰχ-Κουλοὺ, ἐδεξιώθη, καὶ εἰς τὴν Κωνσταντινούπολιν μεθ' ἑαυτοῦ ἐκόμισε· δι' οὗ διεδόθη εἰς τὴν Τουρκίαν καὶ διεσπάρη τὰ μαθήματα τῆς μουσικῆς τέχνης. Τὸ ἐξάχορδον, ἄλλως ψαλτήριον, καὶ περσικῶς σ ὲ ς-δ ὰ ρ, εὑρέθη παρὰ τοῦ Δαβὶδ, καὶ τὴν σήμερον δὲν εὑρίσκεταί τινας ὁποῦ νὰ τὸ παίζῃ καθὼς ἀπαιτεῖ βαθέως ἡ τέχνη.

Οὕτως οὖν ἑάλω τὸ Βαγδάτι, καὶ μετὰ τὴν ἅλωσιν τούτου οἱ Πέρσαι πλέον οὐδὲν κατὰ τῶν Τούρκων διαπράξασθαι ἠδυνήθησαν. Ἀνακαινίζει τὰ κρημνισθέντα μέρη τῶν τειχῶν τοῦ Βαγδατίου ὁ σουλτὰν Μουρὰτ, κάμνει βεζίρην τὸν Μουσταφᾶ-πασσᾶν, καὶ διορίσας αὐτῷ τὰ ποιητέα εἰς τὴν ἐπαρχίαν Ἀρὰκ, ἀπάρας τοῦ Βαγδατίου ἦλθε παραχειμάσων εἰς τὸ Διαρπεκίρ.

—

Ἔτει σωτηρίῳ 1638, τοῦ Χιτζρὲ 1048.

Πρὸ τοῦ ἀναφανῆναι τοίνυν τὸ ἔαρ ἀπάρας τοῦ Διαρπεκὶρ ἔρχεται εἰς τὴν Κωνσταντινούπολιν ὁ σουλτὰν Μουρὰτ περὶ τὰ τέλη τοῦ Φεβρουαρίου.

Ἐξεδοτο νόμους κατὰ τῶν ἀρσενοκοιτῶν, βλασφήμων, καπήλων, ἐμπόρων καὶ τῶν λαμβανόντων πολλὰς γυναῖκας, καὶ ἤγειρε πόλεμον καὶ κατὰ τῶν Δαλματῶν.

ΚΕΦ. ΚΣΤ'.

Πατριαρχεία Νεοφύτου τοῦ πρώην Ἡρακλείας, καὶ πέμπτη πατριαρχεία Κυρίλλου τοῦ Λουκάρεως, καὶ τρίτη πατριαρχεία Κυρίλλου τοῦ ἀπὸ Βερρόιας.

Κύριλλος ὁ ἀπὸ Βερρόιας πατριαρχεύσας μῆνας 16 ἐξώσθη τοῦ θρόνου διὰ πλεονεξίαν καὶ εἰς τὴν Ῥόδον ἐξωρίσθη, καὶ ἀνεβιβάσθη εἰς τὸν Οἰκου-

μενικὸν θρόνον ὁ πρώην Ἡρακλείας Νεόφυτος, ἄνθρωπος ὅσιος, κατὰ μῆνα Ἰούνιον· καὶ τούτῳ τῷ ἔτει ἐξέδωκαν ὁρισμὸν διὰ τὴν ἐκ τῆς ἐξορίας ἐπάνοδον Κυρίλλου τοῦ Λουκάρεως.

Τῇ κδ' Σεπτεμβρίου μηνὸς σύνοδος ἐν Κωνσταντινουπόλει γίγνεται, ἥτις τῷ ἀναθέματι ὑπέβαλε τὰ ἐπ' ὀνόματι Κυρίλλου τοῦ Λουκάρεως συγγραφέντα κεφάλαια 18 τὰ προῤῥηθέντα, τόν τε συγγράψαντα Κύριλλον, τὸν Λούκαριν ἢ ἕτερον ψευδοκύριλλον ὑπάρχοντα.

Ὁ πατριάρχης Νεόφυτος ἐπανελθόντα Κύριλλον τὸν Λούκαριν αἰδεσθεὶς ὡς οἰκεῖον αὐτοῦ, ἐκὼν παραιτηθεὶς καὶ ἀπελθὼν εἰς Χίον, ἐν τῇ Ἁγίᾳ Μονῇ ἐν ἡσυχίᾳ τὸν βίον διήνυσε, πατριαρχεύσας μῆνας δέκα.

—

Ἔτει σωτηρίῳ 1639.

Πέμπτη Πατριαρχεία Κυρίλλου τοῦ Λουκάρεως.

Ἀναβιβάζεται δὲ τὸ πέμπτον εἰς τὸν Οἰκουμενικὸν θρόνον, Μαρτίου τῇ ιή, Κύριλλος ὁ Λούκαρις· καὶ τῷ αὐτῷ ἔτει Ἰουνίου ιθ' ἐξωσθεὶς καὶ παραδοθεὶς Ἀχμὲτ-ἀγᾷ τινι ἀπάγεται εἰς τὴν Λαιμοκοπίην, τὸ τῆς Κωνσταντινουπόλεως δυτικὸν νεόκαστρον κατὰ τὸν Εὔξεινον Πόντον.

Τρίτη πατριαρχεία Κυρίλλου τοῦ ἀπὸ Βερρόιας.

Τῇ δὲ κ' τοῦ αὐτοῦ Ἰουνίου μηνὸς ἐπιβαίνει τὸ τρίτον τοῦ Οἰκουμενικοῦ θρόνου Κύριλλος ὁ ἀπὸ Βερρόιας ὁ προῤῥηθείς.

Αὗται οὖν αἱ ἀλλεπάλληλοι μεταβολαὶ τῶν πατριαρχῶν ηὔξησαν τὸ χρέος τοῦ πατριαρχείου· διὸ οἱ ἐν Κωνσταντινουπόλει παρευρισκόμενοι ἀρχιερεῖς εἰς δικαστήρια εἵλκοντο παρὰ τῶν δανειστῶν ὑπὲρ τῶν χρημάτων ὧν δεδώκασι τοῖς προγεγονόσι τέσσαρσι πατριάρχαις, Κυρίλλῳ, φημὶ, τῷ Λουκάρει, Ἀθανασίῳ τῷ Πατελαρίῳ, Κυρίλλῳ τῷ Βερρόιας καὶ Νεοφύτῳ τῷ Ἡρακλείας, οἳ παραλόγως ἐδανείζοντο παρὰ μποσταντζήδων, τσαουσάδων, καπιτζιπασήδων, κασάπιδων, γουνάρεων, Φράγκων, Ἑβραίων, Ἀρμενίων καὶ παντὸς τοῦ τυχόντος, οἷς ἐγγυηταὶ ἐγίνοντο οἱ ὑπ' αὐτοὺς διατελοῦντες μητροπολῖται.

Ὁ πατριάρχης Κύριλλος ὁ ἐκ τῆς Βερρόιας σύνοδον συγκροτήσας, παρόντων Μητροφάνους Ἀλεξανδρείας καὶ Θεοφάνους τοῦ Ἱεροσολύμων, καὶ ἐπικυρώσας τὴν προῤῥηθεῖσαν κατὰ τῶν 18 κεφαλαίων σύνοδον, αὖθις ὑποβάλλει ἀναθέματι τὰ αὐτὰ προῤῥηθέντα κεφάλαια καὶ τὸν Λούκαριν. (Ὅρα Δοσίθ. βιβλ. ιά. κεφ. ί.)

Διὰ βασιλικοῦ προγράμματος, δόντος πουγγεῖα 20 τοῦ ἀπὸ Βερρόιας Κυρίλλου τῷ τότε ἐν Κωνσταντινουπόλει ἀνθυπάτῳ, ἀγχόνῃ ἀποπνίγεται Κύριλλος ὁ Λούκαρις οἰκτρῶς τε καὶ ἀνηλεῶς, καὶ ἐν θαλάσσῃ βυθίζεται τὸ

λείψανον αὐτοῦ, συκοφαντηθεὶς ὡς αἱρετικὸς ὑπὸ Κυρίλλου τοῦ ἀπὸ Βερρόιας, ὑφ' οὗ καὶ τῇ διεγέρσει καὶ κινήμασι λέγεται καὶ ἀποπνιγῆναι. Τοῦ γὰρ ἀνθυπάτου ἀναφορὰν ποιησαμένου πρὸς τὸν σουλτὰν Μουρὰτ κατὰ τοῦ Κυρίλλου καὶ μαρτυρήσαντος αὐτῷ πολλὰ κακὰ, καὶ ἰδιοχείρως ὁ βασιλεὺς ἐβεβαίωσεν ἵνα ὁ γέρων πατριάρχης ἀποπνιγῇ, καὶ οὕτως ὁ πολύφημος καὶ πολύσοφος ἐφονεύθη, καὶ ἐν τῇ θαλάσσῃ εὑρόντες τὸ πτῶμα αὐτοῦ τινὲς εἰς τὸ Ῥήγιον, ἔθαψαν ἐκεῖ πενιχρῶς.

Ἐμποδίζει τὴν μεταχείρισιν τοῦ τουτουνίου καὶ ὀπίου ὁ σουλτὰν Μουρὰτ μὲ τοσαύτην ὁρμὴν, ὁποῦ μόνος του ἐφόνευεν ἐκείνους ὁποῦ εὕρισκε πίνοντας καὶ πωλοῦντας τουτούνι καὶ τρώγοντας ἢ πωλοῦντας ὄπιον, καὶ μόνον παῤῥησίᾳ ἔδιδεν ἄδειαν οἰνοποτεῖν.

Ἀφορμὴν ἐκ τούτων τῶν κεφαλαίων λαβόντες οἱ ἰησουῖται παρεπίκραινον ὁσημέραι τοὺς ἐν τῇ Λιτουανίᾳ, Οὐκραΐνῃ, Ποδολίᾳ καὶ Πολωνίᾳ διάγοντας χριστιανοὺς Ῥώσσους, φάσκοντες τὸν πατριάρχην Κωνσταντινουπόλεως καλβινίσαι, ὅθεν καὶ ἀδεῶς αὐτοὺς πρὸς τὸν παπισμὸν ἐβιάζοντο. Διὰ ταῦτα καὶ ὁ μητροπολίτης Κιαΐβου Πέτρος ὁ περιφανὴς τὴν ὁμολογίαν τῆς ὀρθοδόξου πίστεως συντάξας ἐξέδοτο.

ΚΕΦ. ΚΖ'.

Πατριαρχεία Παρθενίου τοῦ ἀπὸ Ἀδριανουπόλεως, καὶ πατριαρχεία Παρθενίου τοῦ Νέου τοῦ καὶ Κεσκὶν καὶ Γολιὰθ ἐπονομαζομένου· καὶ τὰ κατὰ τὸν Ἱεροσολύμων Παΐσιον· καὶ ἐκστρατεία κατὰ τῆς Κρήτης.

—

Ἔτει σωτηρίῳ 1640.

Συνεργείᾳ τοίνυν τῶν προσκειμένων τῷ μιαιφονηθέντι Κυρίλλῳ τῷ Λουκάρει πατριάρχης προχειρίζεται ὁ Ἀδριανουπόλεως Παρθένιος ὁ ἐπονομαζόμενος Γέρων, ἐκλογῇ τῆς συνόδου, κατὰ τὴν ιζ' τοῦ Ἰουλίου, ἡμέρᾳ Κυριακῇ· ὁ δὲ Κύριλλος ὁ ἐκ Βερρόιας ἐξωσθεὶς εἰς τὴν Καρθαγένην ἐξορίζεται, κἀκεῖσε πνιγμῷ ἀποκτείνεται διὰ τῆς τῶν αὐτῶν συνεργείας.

Ὁ πατριάρχης Παρθένιος φέρει τὰ λείψανα Κυρίλλου τοῦ Λουκάρεως εἰς τὸ πατριαρχεῖον, συνεργείᾳ τῶν φίλων αὐτοῦ, καὶ ἔψαλεν αὐτὰ, εἶτα ἔπεμψεν εἰς τὴν νῆσον τῆς Χάλκης καὶ ἐτάφησαν ἐν τῷ μοναστηρίῳ τῆς Παναγίας.

Ὁ ἡγεμὼν τῆς Μολδαβίας Βασίλειος βοεβόδας, Ἀλβανίτης ὢν, καὶ ἀπὸ μὲν τῆς Ἠπείρου ἐκ προγόνων, ἀπὸ δὲ πατρὸς τοῦ παρὰ τῇ Μαρκιανουπόλει Ἀλβανιτοχωρίου, μέγα δυνάμενος καὶ παρὰ τῇ τῶν Ὀθωμανῶν βασιλείᾳ καὶ παρὰ τῷ κράλῃ τῆς Λεχίας, ἐπρέσβευσεν εἰς τὴν ἐν Κωνσταντινουπόλει σύνοδον, καὶ ἔπεμψεν ὁ πατριάρχης Παρθένιος ὁ Γέρων ἀρχιερεῖς εἰς τὸ Γιάσιον καὶ τὸν διδάσκαλον Μελέτιον τὸν Συρίγον· ἐμεσίτευσε δὲ καὶ εἰς τὸν ῥῆγα τῆς Λεχίας, καὶ ἦλθεν ὁ Πέτρος ὁ Κιαΐβου καὶ ἄλλοι τινες πάλιν εἰς τὸ Γιάσιον, ἔνθα συγκροτηθείσης συνόδου κρίνονται πάλιν αἱρετικὰ τὰ 18 κεφάλαια, καὶ ἀναθεματίζονται αὐτά τε καὶ ὁ συγγράψας αὐτά· οὐκ ἀνεθεμάτισαν δὲ οἱ συνοδικοὶ ῥητῶς τὸν Κύριλλον τὸν Λούκαριν, ἐπειδὴ οὐδέποτε ἤκουσαν αὐτοῦ εἰπόντος τι ἢ συγγραψαμένου κατὰ τῆς ὀρθοδόξου πίστεως. Εἶτα τὴν προῤῥηθεῖσαν ὁμολογίαν τὴν συντεθεῖσαν ὑπὸ Πέτρου τοῦ Κιαΐβου δοκιμάσασα καὶ διορθώσασα ἡ σύνοδος ἐβεβαίωσεν.

Ὁ σουλτὰν Μουρὰτ συλλογιζόμενος καὶ ἑτοιμαζόμενος πρὸ πολλοῦ ἐκστρατεῦσαι κατὰ τῶν Χριστιανῶν, ἐν τῷ ἑτοιμάζεσθαι ἀσθενήσας ἡμέρας 15 θνήσκει, Φεβρουαρίου ά, ἡμέρᾳ Σαββάτῳ, τῇ καὶ ιέ τῆς σελήνης Σεβὰλ, ζήσας ἔτη 31 καὶ βασιλεύσας ἔτη 17, ἐν πολέμοις μὲν ἀλλ' ἐν ἀδιακόπῳ τῇ μέθῃ. Ὑπῆρξε δὲ τυραννικώτατος, καὶ γὰρ τὰς ἀγυιὰς τῆς πόλεως περιπατῶν πλείστους ὅσους ἀδίκως ἐφόνευε νύκτωρ τε καὶ μεθ' ἡμέραν· συμποσοῦνται δὲ οἱ φονευθέντες ἀδίκως εἰς χιλιάδας 14, οἱ πλείους γνωστοί τε καὶ ἔνδοξοι.

Βασιλεία τοῦ σουλτὰν Ἰπραήμ.

Ἀναγορεύεται δὲ βασιλεὺς μετ' αὐτὸν ὁ ἀδελφὸς αὐτοῦ σουλτὰν Ἰπραὴμ, τὸν ἀξιώτατον δηλαδὴ, εἰ καὶ μέθυσον καὶ τυραννικώτατον, διαδεχθεὶς ὁ ἀναξιώτατος, ἔτει τῆς ἡλικίας αὐτοῦ κγ'.

Πυρκαϊὰ εἰς τὸ Φανάρι καὶ Παλατᾶ, καὶ καίονται ἐκκλησίαι· ὅρα Δοσίθ. βιβλ ιά. κεφ. ί. §. θ'.

Οἱ Καζάκοι ἐληλάτουν τὰ παραθαλάσσια τοῦ Εὐξείνου Πόντου καὶ τὰς ἐν αὐτῷ ἀχθοφόρους νῆας, ἐμποδίζοντες τὴν εἰς τὴν Κωνσταντινούπολιν διάπλευσιν αὐτῶν καὶ ἀκολούθως τὴν ἐμπορίαν· οὐ μὴν δὲ ἀλλὰ καὶ εἰς τὸν Βόσπορον εἰσελθόντες τούτῳ τῷ ἔτει ἐληλάτησαν τὸ παρὰ τῷ Σωσθενείῳ Νεοχώριον. Ὅθεν ὁ σουλτὰν Ἰπραὴμ, διὰ νὰ ἐμποδίσῃ τὰς τοιαύτας ἐφόδους καὶ πειρατείας, κτίζει τὰ δύο κάστρη εἰς τὸ στόμιον τοῦ Βοσπόρου τὸ πρὸς τῷ Εὐξείνῳ Πόντῳ, καὶ διὰ ὁπλομάχων νηῶν πάσχει νὰ τοὺς ἀποδιώξῃ τοῦ Εὐξείνου Πόντου. Κατιδὼν δὲ ὅτι ἀδύνατον τοῦτο ἐν ὅσῳ ἐστὶν ὑπὸ τὴν ἐξουσίαν αὐτῶν τὸ Ἄζὰκ, ἐφορμᾷ κατ' αὐτοῦ καὶ πολιορκή-

σας ὑποτάσσει, κείμενον παρὰ τῷ στομίῳ τοῦ ποταμοῦ Τανάϊδος, καὶ φονεύει τὸ ἐν αὐτῷ στρατόπεδον ἅπαν τὸ ῥωσσικόν.

—

Ἔτει σωτηρίῳ 1641.

Τῆς Μολδοβλαχίας ὁ ἡγεμὼν Βασίλειος βοεβόδας ἐπλήρωσε τὸ χρέος τοῦ πατριαρχείου τῆς Κωνσταντινουπόλεως, ἐπέκεινα ὃν τῶν 300 πουγγείων ἄσπρων, καὶ ἐλεύθερον αὐτὸ πάντῃ τοῦ χρέους ἀποκατέστησεν, ἐπὶ συμφωνίᾳ τοῦ μηκέτι κατατίειν τοὺς ἀρχιερεῖς ζητείας, βοηθείας, χαράτζια, καὶ ἐράνους· καὶ τόμος συνοδικὸς ἐπὶ τούτῳ παρά τε τοῦ πατριάρχου καὶ τῶν ἀρχιερέων ἐγένετο· ἀλλ' αἱ ἀλλεπάλληλοι ἀλλαξοπατριαρχεῖαι κενὰ τὰ τοιαῦτα ἀπεδείκνυον. Εἰς εὐχαρίστησιν δὲ ὁ πατριάρχης κρεμάσας ἀπὸ τοῦ τείχους τοῦ ἐν τῷ Φαναρίῳ τῆς Πόλεως τὸ λείψανον τῆς Ἁγίας Παρασκευῆς, ὅπερ ἐνέκειτο τῷ πατριαρχείῳ, πέπομφεν εἰς Γιάσιον. Αὕτη ἡ Ἁγία Παρασκευὴ οὐχ ἡ παλαιά ἐστιν ἡ τῇ κς' τοῦ Ἰουλίου μνημονευομένη, ἀλλά τις μεταγενεστέρα ἐκ κώμης τῶν Ἱπποβατῶν πλησίον τῆς Σηλυβρίας.

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

(ἐλλείπουσιν ἐκ τοῦ χειρογράφου αἱ σελ. 263—279.)

ἐπιδημοῦντας τρεῖς πατριάρχας τῆς Ἀνατολῆς, ἀλλὰ πρῶτος Παρθένιος οὗτος ὁ Νέος ἠμέλησε τὴν παλαιὰν συνήθειαν, ᾧ τινι καὶ ἡ συνεχὴς ἀνωμαλία καὶ μεταβολὴ τῶν ἐφεξῆς πατριαρχῶν ἔλυσε τὸ καλῶς ἁρμοσθέν.

Οἱ μητροπολῖται μετὰ τοῦδε τοῦ πατριάρχου Παρθενίου τοῦ Νέου τόμον ἐξέδωκαν, τῇ ιδ' τοῦ Δεκεμβρίου, κείμενον ἐν τῷ τῆς Ἐκκλησίας κώδηκι, δι' οὗ ἐθέσπισαν τὸν ἀρχιερέα τὸν μὴ πληροῦντα τὰ συνοδικῶς αὐτῷ ἐπιῤῥιπτόμενα χαράτζια, ζητείας, βοηθείας καὶ τὰ ὅμοια, ἀπροκριματίστως καθαιρεῖσθαι καὶ τῆς ἐπαρχίας ἐξωθεῖσθαι.

Ὁ πρώην Κωνσταντινουπόλεως Παρθένιος ὁ Γέρων, προκάτοχος Ἀμασείας τοῦδε τοῦ Νέου, ἐπανακάμψας ἀπὸ τῆς ἐξορίας εἰς τὴν Χίον, δηλητηρίῳ ἐκεῖσε, ὡς φασιν ἐτελεύτησεν.

Πάπαι τῆς Ῥώμης ἀπὸ ἔτους 1585.

Μετὰ Γρηγόριον τὸν ΙΓ' γίνεται πάπας Σίξτος Ε', ἀπὸ τὸ Μοντάλτο, πόλιν ἰταλικήν, ἀλλ' ἀπὸ γένους ἀσήμου καὶ πτωχοῦ, ἔτει 1585 Ἀπριλίου ζ'.

Τοῦτον, ἀγχόνῃ παρὰ μοναχοῦ τινος φραγκισκάνου πνιγέντα, διεδέχθη Οὐρβανὸς Ζ' ὁ ἀπὸ Ῥώμης, ἔτει σωτηρίῳ 1590 Σεπτεμβρίου ιέ.

Καὶ τοῦτον θανόντα διεδέχθη Γρηγόριος ΙΔ' ὁ ἐκ Μεδιολάνων, ἔτει τῷ αὐτῷ Δεκεμβρίου ιγ'.

Τοῦτον, ἐπισκοπεύσαντα μῆνας ἐννέα καὶ θανόντα, διεδέχθη Ἰννοκέντιος Θ', ἔτει 1591 Ὀκτωβρίου λ', καὶ μετά τινας μῆνας θνήσκει.

Διαδέχεται δὲ αὐτὸν Κλήμης Η' ὁ ἀπὸ Φλωρεντίας, ἔτει 1592 Ἰανουαρίου λ'. Θανόντος τοίνυν τοῦ δουκὸς τῆς Φερράρας, τοὔνομα Ἀλφόνσου-δι-Ἔστα, ἄνευ κληρονόμου παιδὸς, ἔδει τὴν δεσποτείαν αὐτοῦ ὑπὸ τῷ θρόνῳ τῆς Ῥώμης ὑποπεσεῖν, κατὰ τοὺς ἀρχαίους αὐτῶν νόμους· ὅθεν αὐτοπροσώπως ἐλθὼν εἰς τὴν Φερράραν παρέλαβεν αὐτήν. Εἶχε μεθ' ἑαυτοῦ καρδιναλίους 27, καὶ πλείστους ἐπισκόπους, καὶ τὸ Μυστήριον τῆς Εὐχαριστίας προσέταξε προπορεύεσθαι αὐτῷ ἐν πολυτελεῖ θήκῃ κεκλεισμένον, ἐφ' ἵππου βασιλικῶς κεκοσμημένου, καὶ ὑπὸ χειρὸς κατασκευαστῆς κατεχόμενον, ὑπὸ πλήθους τε ἐπισκόπων περικυκλούμενον, φανούς τε καὶ λαμπάδας διακεκοσμημένας ταῖς χερσὶ κατεχόντων· καὶ τοιαύτῃ τῇ προπομπῇ εἰσῆλθεν ὁ γεννάδας εἰς τὴν Φερράραν.

Τοῦτον διεδέχθη Λέων ΙΑ' ὁ ἀπὸ Φλωρεντίας, Ἀλέξανδρος Μέδιτζι ὀνομαζόμενος πρότερον ὅταν ἦτο καρδινάλης· ἔγινε δὲ πάπας ἔτει 1605 Ἀπριλίου ά.

Τοῦτον διεδέχθη Παῦλος Ε' ὁ ἀπὸ Ῥώμης, ἔτει τῷ αὐτῷ, Μαΐου τῇ ις'. Ὠνομάζετο πρότερον ἐν τῷ καρδιναλάτῳ Κάμιλλος Βουργίσιος· ὅταν ἔγινε δὲ καρδινάλης ἦγεν ἔτος τῆς ἡλικίας δωδέκατον. Διορίζει διδασκάλους τῶν γλωσσῶν ἐν τῇ Ῥώμῃ μισθωτοὺς, ἑβραϊκῆς δηλαδὴ, ἑλληνικῆς, λατινικῆς καὶ ἀραβικῆς.

Τοῦτον διεδέχθη Γρηγόριος ΙΕ' ὁ ἀπὸ Βονωνίας, ἔτει 1621 Φεβρουαρίου θ'.

Ἡ ἐν τῇ Ἱσπανίᾳ τὸ πρῶτον κινηθεῖσα ἀμφισβήτησις περὶ τοῦ πότερον, ἡ Θεοτόκος Μαρία συνελήφθη ὑπὸ τὴν προπατορικὴν ἁμαρτίαν ἢ ἄνευ ταύτης, οὕπω μέχρι τοῦδε κατέληξεν, ἀλλὰ μᾶλλον προεχώρει. Ὅθεν ὁ ῥὴξ τῆς Ἱσπανίας Φίλιππος Δ' ἱκέτευε τόνδε τὸν πάπαν ἵνα ταύτην τὴν ἀμφισβήτησιν διορίσῃ· πρὸς ὃν ἀπεκρίθη τὸ, τὴν ἀίδιον σοφίαν μήπω τοσούτου μυστηρίου τὰ βάθη πεφανερωκέναι· καὶ βούλαν ἐδημοσίευσε ἀπαγορεύων τὸ μή τινα, ἐγγράφως, ἢ λόγοις κατ' ἰδίαν, τολμᾷν διαβεβαιώσασθαι τὴν παρθένον Μαρίαν ἐν ἁμαρτίᾳ συλληφθῆναι· ἀφῃρημένων ἐκείνων οἷς τοῦτο συνεχωρήθη εἰδικῶς ὑπὸ τοῦ ἀποστολικοῦ θρόνου, οὕτω δ' ὅμως ὥστε μὴ προκρίματι προσφέρεσθαι διὰ τούτου τοῦ θεσπίσματος τῇ γνώμῃ τῶν διαβεβαιούντων ἄνευ ἁμαρτίας συλληφθῆναι.

Ὁ καγκελλάριος τῆς βασιλείας τῆς Λεχίας γράφει τῷ Κιοπρουλόγλου Ἀχμὲτ-πασσᾷ ὅτι ὁ ῥὴξ τῆς Λεχίας δεχθεὶς τὰς συμφωνίας τῆς εἰρήνης ἄνευ τῆς συγκατανεύσεως τῆς ἀριστοκρατίας δὲν εἰσηκούσθη παρ' αὐτῆς, ἡ ὁποία οὐδόλως δὲν τὰς δέχεται, καὶ δὲν θέλει πληρώσει τίποτε, προκρίνουσα χιλίους θανάτους μᾶλλον παρὰ δασμόν· καὶ διὰ τοῦτο δὲν ἐπέμφθη καὶ πρέσβυς ὁ ὑπὸ τοῦ σουλτὰν Μεχμὲτ προσδοκώμενος μὲ τὴν ἐπικύρωσιν τῆς εἰρήνης ἀπὸ μέρους τῆς ἀριστοκρατίας καὶ τὴν ἀπόκρισιν τῶν ἄσπρων.

Οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ χάτμανος τῶν ῥηθέντων Καζάκων Δοροσκένκης ἐφώρμησεν εἰς τὰς ὀθωμανικὰς ἐπαρχίας λεηλατῶν.

Ὁ βεζίρης γράφει αὐτοῖς ἐμμεῖναι τοῖς συμφωνηθεῖσι καὶ ἐπαπειλεῖ τὰ ἔσχατα τῶν κακῶν καταφρονήσασι τῶν συμφωνηθέντων· ἀλλ' οὐδὲν τούτων φροντίζουσι.

—

Ἔτει σωτηρίῳ 1673, τοῦ Χιτζρὲ 1084.

Ὅθεν ὁ σουλτὰν Μεχμὲτ ἀθροίζει στρατὸν πολλῷ πλείω καὶ μείζονα τοῦ περυσινοῦ, καὶ ἐκστρατεύει αὐτοπροσώπως ἀπάρας τῆς Ἀδριανουπόλεως.

Οἱ Λέχοι πάλιν πολυαρίθμῳ στρατῷ διαπερῶσι τὸν Νίστρον πρὸς ἀπάντησιν αὐτοῦ, ὑπὸ στρατηγῷ Ἰωάννῃ τῷ Σομπιέσκῃ, κατὰ τὸν τῆς πολεμικῆς κανόνα, τὸ ὅτι δηλαδὴ κρεῖττον ἐφορμᾷν κατὰ τοῦ ἐχθροῦ ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ ἢ διῶξαι αὐτὸν ἐκ τῆς οἰκείας ἐπαρχίας.

Φθάνει καὶ ὁ σουλτὰν Μεχμὲτ καὶ εὑρίσκει αὐτοὺς ἐστρατοπεδευμένους μεταξὺ τῶν ποταμῶν Νίστρου καὶ Δουνάβεως, εἰς τόπον τανῦν Χάν-τεπε λεγόμενον ἐπὶ τοῦ ποταμοῦ Προύτου. Ἄρχεται ὁ πόλεμος φρικωδέστατα καὶ παρατείνεται ἕωθεν μέχρι τῆς ἑσπέρας χωρὶς νὰ ὑπερισχύσῃ τὸ ἓν μέρος κατὰ τοῦ ἄλλου. Ἑσπέρας δὲ ἤδη οὔσης, Πετρετζέϊκος, ὁ ἡγεμὼν τῆς Μολδαβίας, καὶ Γρηγόριος ὁ υἱὸς τοῦ Γκίκα, ἡγεμὼν τῆς Οὐγγροβλαχίας, οἱ ὄντες ἐν τῷ ἀριστερῷ κέρατι τοῦ ὀθωμανικοῦ στρατοπέδου, σὺν τοῖς περὶ αὐτοὺς στρατιώταις αὐτομολοῦσι πρὸς τοὺς Λέχους· συγχίζεται τὸ ἀριστερὸν κέρας καὶ οὐχ ὑπακούει τῷ στρατηγῷ αὐτῶν Ἰπραὴμ-πασσᾷ· ἐφορμῶσιν οἱ Λέχοι κατὰ τοῦ δεξιοῦ κέρατος καὶ καταπολεμοῦσιν αὐτὸ, καὶ μετὰ πολλὰ φυγαδεύουσι τοὺς Τούρκους, καὶ κατακρατοῦσιν οἱ Λέχοι ἅπαν τὸ τῶν Τούρκων στρατόπεδον σὺν πᾶσι τοῖς ἐφοδίοις. Ὁ σουλτὰν Μεχμὲτ ἀπέχων ὡσεὶ μίλια δώδεκα τοῦ στρατοπέδου, κατιδὼν φεύγοντας τοὺς ἰδίους, συμβουλεύει, προστάζει, φωνάζει, παρακινεῖ εἰς πόλεμον, παίει ἰδιοχείρως, ἀλλ' οὐδεὶς ὁ ἀκούων καὶ οὐδεὶς ὁ ἐπιστρεφόμενος· τέλος φοβηθεὶς καὶτὸς μὴ μόνος μείνας ζωγρηθῇ παρὰ τῶν Λέχων, φεύγει σὺν αὐτοῖς τοῖς φεύγουσιν. Ὡς τόσον οἱ Λέχοι ὑποτάσσουσι τὸ Χοτίνι καὶ ἑτοιμάζονται νὰ ἀναλάβωσι τὴν Καμινίτζαν· ἀλλὰ μαθόντες τὸν θάνατον τοῦ ῥηγὸς τῆς Πολωνίας Μιχαὴλ, ἀφίνουσι τὸν πόλεμον διὰ νὰ ἐνασχοληθῶσιν εἰς τὴν ἐκλογὴν τοῦ νέου ῥηγός· καὶ μετὰ πολλὰ ἐκλέγουσιν εἰς ῥῆγα τὸν ῥηθέντα νικητὴν τῶν Τούρκων Ἰωάννην τὸν Σομπιέσκην. Σημείωσαι οὖν ὅτι νικηταὶ ἦσαν παντοχοῦ μέχρι τοῦδε οἱ Ὀθωμανοὶ ἀδιακόπως, ἀλλὰ τοὐντεῦθεν ἐσθ' ὅτε ἡττωμένους αὐτοὺς ἡ ἱστορία παραδίδωσι τοῖς ἀναγνώσταις.

Ὁ σουλτὰν Μεχμὲτ ἑτοιμάζεται μεγάλως διὰ τὸν φόβον τοῦ Σομπιέσκη, στρατολογεῖ νέον στρατὸν ἀπὸ Εὐρώπης καὶ Ἀσίας, προστίθησι τῷ τάγματι τῶν γιαννιτζάρων καὶ τοὺς λεγομένους σερδενγκετζήδες μὲ λουφὲν ἄσπρων ἑνδεκα τὴν ἡμέραν, καὶ ἐπρόσταξε τὸν χάνην τῶν Ταρτάρων Σελὶμ- Γκεραΐ νὰ φέρῃ εἰς τὸ στρατόπεδον δύο ἀνθρώπους ἀπὸ κάθε καζάνι τόσον τοῦ Κριμίου ὅσον καὶ τοῦ Βουτζακίου.

Ὁ ῥὴξ τῆς Πολωνίας ἤθελε νὰ ἑτοιμασθῇ μὲ μεγάλας ἑτοιμασίας καὶ αὐτὸς, ἀλλ' ἡ Δίαιτα οὐ συνεχώρει αὐτῷ τὴν ἀναγαίαν ἑτοιμασίαν. Ἐνόμιζον ὅτι τὸ ἅπαξ ἡττηθῆναι τὸν Τοῦρκον ἀρκεῖ διὰ τὴν παντοτινήν του καταστροφήν.

—

Ἔτει σωτηρίῳ 1674.

Πατριαρχεία Γερασίμου τοῦ Τορνόβου.

Ἐξοῦται Διονύσιος ὁ Μουσελίμης, καὶ ἀναβιβάζεται εἰς τὸν θρόνον, κατὰ τὴν ἰδ Αὐγούστου, Γεράσιμος ὁ Τορνόβου μητροπολίτης, πατριαρχεύσας ἔτος ἓν καὶ μῆνας ἕξ.

Εἶναι δὲ διὰ νὰ θαυμάσῃ τινας τὰ τοιαῦτα κινήματα κατὰ τοῦ Οἰκουμενικοῦ θρόνου, ἅτινα ὅτι ἐγίνοντο ἢ μόνον τῇ συνδρομῇ τῶν ἀρχιερέων ἢ τῇ συγκατανεύσει αὐτῶν τίς ὁ ἀμφιβάλλων; ἀλλὰ καὶ εἰς τὰς ἰδίας ἐπαρχίας κατετόλμων τὰ ἄπερ ὁ Δοσίθεος διηγεῖται ἀτοπήματα οὑτωσὶ λέγων. «Μά« λιστα τινὲς τούτων εἰώθασι χειροτονεῖν ἐπὶ χρήμασι καὶ λαμβάνειν πα-

» ρὰ τῶν ἱερέων ἐμβατοίκια, καὶ αἰτεῖν παρὰ τῶν χριστιανῶν δυναστικῶς
» ἀργύρια, καὶ παραβαίνειν τὰ ἐκκλησιαστικὰ δίκαια, ἅπερ ἐν τοῖς λοιποῖς
» ἀποστολικοῖς πατριαρχικοῖς τρισὶ θρόνοις οὐ γίγνεται.

Θνήσκει ὁ Δραγομάνος Παναγιώτης ὁ Νικόσιος, καὶ γίνεται Δραγομάνος ὁ γραμματικός του Ἀλέξανδρος Μαυροκορδάτος, υἱὸς τοῦ Σκαρλάτου, Χίου, Μαυροκορδάτου.

Ὁ ῥὴξ τῆς Λεχίας πέμπει στρατὸν διὰ νὰ πολιορκήσῃ τὴν Καμινίτζαν. Ὁ σουλτὰν Μεχμὲτ μαθὼν τὴν ἀνάγκην τοῦ κάστρου, ἀπάρας δρομαῖος διαπερᾷ τὸν Δούναβιν πολλῷ τῷ στρατῷ εἰς τὴν Ἰσάκτζαν καὶ ἔρχεται εἰς τὸ Χοτίνι. Οἱ Λέχοι ταῦτα ἀκούσαντες ἀνελπίστως φοβοῦνται ὡς ἀπροετοίμαστοι, καὶ λύουσι τὴν πολιορκίαν τῆς Καμινίτζας· ταῦτα μαθὼν ὁ σουλτὰν Μεχμὲτ ἀνακτᾶται τὸ Χοτίνι κατ' αὐτοῦ ἐφορμήσας· εἶτα ἐλθὼν εἰς τὴν Καμινίτζαν ἐνδυναμώνει αὐτὴν ἐφοδίοις, καὶ κατιδὼν ὅτι στρατόπεδον τῶν Λέχων δὲν ἀκούεται πουθενὰ, ἐφορμᾷ κατὰ τῆς Οὐμὰν πόλεως τῆς Ποδολίας καὶ ὑποτάσσει αὐτὴν σὺν τῇ ἐπαρχίᾳ τῆς Ποδολίας.

Ὁ προῤῥηθεὶς Δοροσκένκης, χάτμανος τῶν Καζάκων, (ὅρα ἔτος 1657,) ἔρχεται πρὸς συμμαχίαν τοῦ σουλτάνου μὲ τέσσαρας χιλ. Καζάκων. Ὁ σουλτάνος ἀμφιβάλλων διὰ τὴν ἐμπιστοσύνην τῶν Καζάκων εἶπε τῷ χατμάνῳ ἀπελθεῖν εἰς τὰ ἴδια, καὶ ὅτι οὐκ ἔχει χρείαν αὐτὸς Καζάκων εἰς τὸν πόλεμον τὸν κατὰ τῶν Λέχων. Ὅθεν ὁ χάτμανος ἐπὶ τούτῳ λυπηθείς τε καὶ ἀγανακτήσας, μετά τινα χρόνον καταλιπὼν τὴν πρὸς τοὺς Τούρκους ὑποταγὴν, προσεκύνησε καὶ προσετέθη τῇ βασιλείᾳ τῶν Μοσχόβων, ὡς ῥηθήσεται.

Ἀποικίζει τοὺς κατοικητὰς τῆς ἐπαρχίας Καμινίτζας Ἑβραίους πέραν τοῦ Δουνάβεως καὶ τοῦ ὄρους Αἵμου εἰς τὴν ἐπαρχίαν τῶν Σαράντα Ἐκκλησιῶν, καὶ κατοικίζει τὴν ἐπαρχίαν μὲ 2,000 σπαχίδες, μετοικίσας αὐτοὺς ἀπὸ τὸ Ἀκ-κερμὰν, Κελὶ καὶ Βενδὲρ, καὶ διαμοιράζει αὐτοῖς τὴν ἐπαρχίαν. Εἶτα διορίσας τὸν Σισμὰν-Ἰπραὴμ-πασσᾶν ἡγεμόνα εἰς τὴν Καμινίτζαν ἐπανέρχεται εἰς Κωνσταντινούπολιν.

—

Ἔτει σωτηρίῳ 1675, τοῦ Χιτζρὲ 1086.

Ἐλθὼν κάμνει τὴν περιτομὴν τῶν υἱῶν του μὲ μεγάλας ἑορτὰς, Μουσταφᾶ καὶ Ἀχμὲτ, ὑπανδρεύει τὴν θυγατέρα του, καὶ δίδεται εἰς τρυφὰς καὶ κυνήγια· καὶ διὰ τὴν περιτομὴν τῶν υἱῶν του ἔλαβε παρὰ τῶν πασσάδων καὶ βοεβοδάδων καὶ τῶν λοιπῶν τῶν ἐν τέλει δῶρα ὁποῦ ἐξισοῦντο μὲ τὸ ἥμισυ τοῦ ἐτησίου εἰσοδήματος τῆς βασιλείας.

Τούτῳ τῷ ἔτει ὁ βεζίρης Κιοπρουλόγλους κτίζει ἐν τῷ στομίῳ τοῦ Βοσπόρου τῷ εἰς τὸν Εὔξεινον Πόντον τὸ ἀνατολικὸν Φανάριον μὴ ὂν πρότερον.

Ἐν τῇ Χηλῇ ἐστὶ τὸ λείψανον Εὐθυμίου Σάρδεων τοῦ ὁμολογητοῦ ὅλον σῶον.

ΚΕΦ. ΛϚ'.

Τετάρτη Πατριαρχεία Παρθενίου Μογιλάλου τοῦ ἀπὸ Προύσης, καὶ δευτέρα Πατριαχεία Διονυσίου Δ' τοῦ Μουσελίμη· καὶ καθαίρεσις τοῦ Παλαιῶν Πατρῶν Παϊσίου, καὶ συνοδικὸν διὰ τὴν μίτραν τοῦ Κεφαληνίας· καὶ πολιορκία τῆς Βιέννης, καὶ ἧττα καὶ φυγὴ τοῦ βεζίρη Καρὰ-Μουσταφᾶ-πασσᾶ.

—

Ἔτει σωτηρίῳ 1676.

Ἐξοῦται ὁ πατριάρχης Γεράσιμος τῇ συνεργείᾳ τῶν ἀρχιερέων, καὶ ἀνάγεται εἰς τὸν θρόνον τὸ τέταρτον ὁ προῤῥηθεὶς Παρθένιος ὁ Δ' ὁ Μογιλάλος ἐν τῇ Ἀδριανουπόλει.

Οἱ Λέχοι μέχρι τοῦδε οὐχ' ἥπτοντο πολέμου καὶ μόνον ἐσχόλαζον εἰς τὸ νὰ ὑπερασπίζωνται ἑαυτούς· ἀλλὰ τῷδε τῷ ἔτει ὁ ῥὴξ αὐτῶν Σομπιέσκης ἀθροίσας πολὺν στρατὸν, ὄχι μισθωτὸν ἀλλὰ λεηλασίας ἐλπίδι, διελθὼν διὰ τῆς Καμινίτζας, θανόντος ἤδη τοῦ Σισμὰν-Ἰπραὴμ-πασσᾶ, ἐφορμᾷ κατὰ τῆς Μολδαβίας. Ταῦτα μαθὼν ὁ σουλτὰν Μεχμὲτ, σχολάζων ἤδη τρυφαῖς τε καὶ ἡδυπαθείαις, πέμπει σερασκέρην κατὰ τῶν Λέχων τὸν Σεϊτὰν-Ἰπραὴμ-πασσᾶν· κινεῖται εἰς πόλεμον κατὰ τοῦ ἐλθόντος ὁ Σομπιέσκης, ἀλλ' αὐτὸς στρατηγήματι καὶ προτάσει ἐσομένης εἰρήνης ἀναβάλλει τὸν καιρὸν καὶ ἀποφεύγει τὴν ὁρμὴν τῶν Λέχων, ἕως οὗ εἰς τόπον τινὰ στενὸν καὶ δυσδιέξοδον στρατοπεδεύσαντας αὐτοὺς ἀπερισκέπτως ἐπελθὼν οὕτωσὶ κατακλείει, ὥστε μὴ ἔχειν πανταχόσε τὸν ῥῆγα Σομπιέσκην τρόπον ἐξόδου ἢ εἰσόδου ἐφοδίων καὶ ἀποστολῆς ἀνθρώπων διὰ μηνύματα ἀναγκαίων ὑποθέσεων. Στενοχωρηθεὶς οὖν ὁ Σομπιέσκης καὶ τὸν ἐνσκήψαντα λιμὸν φοβηθεὶς, πέμψας τῷ σερασκέρῃ ζητεῖ ἀνανεωθῆναι τὴν συμφωνίαν τῆς παλαιᾶς εἰρήνης· ὅστις οὐκ ἔχων μὲν κλίσιν εἰς αὐτὴν, ἀλλὰ φοβηθεὶς ἐσομένην τινὰ ἀποστασίαν τῶν γιαννιτζάρων, ἀπαυδησάντων ἤδη εἰς τοὺς πολλοὺς κόπους καὶ κατηγορούντων τὸν σουλτὰν Μεχμὲτ διὰ τὰς ἡδυπαθείας του, τρυφὰς καὶ θήρας ζώων ἀγρίων ἐν τῇ Κωνσταντινουπόλει, ἔργον τὰ μάλιστα ἐπίψογον καὶ παρὰ τῷ πλήθει καὶ τῷ στρατιωτικῷ τῶν Ὀθωμανῶν καὶ λίαν ἐπιζήμιον

λογιζόμενον, δέχεται καὶ ἄκων τὰς προτάσεις τῆς εἰρήνης, τῇ προτροπῇ μάλιστα τοῦ Ταταρχάνη, διὰ τὸ πλησιάζειν ἤδη τὸν χειμῶνα, καὶ ζητεῖ παρὰ τοῦ ῥηγὸς Σομπιέσκη Λέχους τινὰς εὐγενεῖς διὰ ὁμήρους, ὅστις ἔπεμψεν αὐτῷ ἓξ, τίτλῳ πρέσβεων, ἀντέπεμψε δ' αὐτῷ καὶ ὁ σερασκέρης ἄλλους ἓξ Τούρκους. Χαίρει ὁ ὀθωμανικὸς στρατὸς ἐπὶ τῇ ὁπλοστασίᾳ καὶ εἰρήνῃ καὶ ἀμεριμνοῦσι τὸ σύνολον. Ταύτην τὴν ἀμεριμνίαν κατιδὼν ὁ Σομπιέσκης καὶ λυτρωθεὶς τοῦ κινδύνου, ἐφορμᾷ κατὰ τῶν Τατάρων τῶν ὄντων εἰς τὸ Μογιλόβι, ὅπερ ἀκούσας ὁ σερασκέρης Σεϊτὰν-Ἰπραὴμ ἐν τῷ ἀριστᾷν μετὰ τῶν πρέσβεων λέχων, ὑβρίζει τοὺς Λέχους διὰ τὴν παράβασιν τοῦ δικαίου τῶν ἐθνῶν καὶ πέμπει στρατὸν πρὸς βοήθειαν τῶν Τατάρων. Ἀπαντῶνται Λέχοι καὶ Ὀθωμανοὶ εἰς τὸν τόπον ᾧ ὄνομα Τζορένι· συγκροτεῖται μέγας, αἱματώδης καὶ διεξοδικὸς πόλεμος, ἀλλ' ἐπελθούσης νυκτὸς διελύθη χωρὶς ἥττης ἢ νίκης ἀμφοτέρων· στρατοπεδεύονται καταντικρὺ Τοῦρκοι καὶ Λέχοι, καὶ πολεμοῦσι μὲ ἀκροβολισμοὺς ἡμέρας δεκαεπτὰ, καὶ τέλος ὑπὸ τῶν πρέσβεων ἀμφοτέρων τῶν μερῶν ὑπογράφονται τὰ ἄρθρα τῆς εἰρήνης, καὶ παύει ἡ δυσμένεια, καὶ διεσκεδάσθη ὁ στρατός.

Οἱ ῥηθέντες Καζάκοι ἔμειναν εἰς τὴν ἀγάπην αὐτὴν ὑποχείριοι τῶν Ὀθωμανῶν· ὁ σουλτὰν Μεχμὲτ ἤνωσεν αὐτοὺς τῇ ἡγεμονίᾳ τῆς Μολδαβίας, καὶ διέταξεν ὅτι ὁ τότε ἡγεμὼν αὐτῆς νὰ ὀνομάζεται καὶ χάτμανος τῶν Καζάκων τῆς Οὐκραΐνας, καὶ νὰ ἔχῃ μητρόπολιν τῆς ἡγεμονίας του τὴν Σουτζάβαν.

—

Ἔτει σωτηρίῳ 1677, τοῦ Χιτζρὲ 1088.

Ὁ πρέσβυς τῆς Λεχίας ἐλθὼν εἰς τὴν Κωνσταντινούπολιν μηνύει τῷ βεζίρῃ, παρὰ πᾶσαν συνήθειαν, προϋπαντῆσαι αὐτῷ εἰς τὴν πόρταν τοῦ κάστρου τῆς πόλεως· οὗ μὴ γενομένου οὐκ εἰσέρχεται εἰς τὴν Πόλιν, ἀλλ' ἀγανακτήσας κονεύει εἰς τὸ λεγόμενον Δαοὺτ-πασσᾶ. Εἶναι αὐτὸ παλάτιον βασιλικὸν κείμενον ἔξω τῆς πόλεως, ἀπέχον αὐτῆς μίλια ἰταλικὰ ὡσεὶ δύο, καὶ τούτῳ τῷ ὀνόματι εἶναι καὶ πόρτα τῆς πόλεως ἐπὶ τῆς Προποντίδος, καὶ τζαμὶ μεγάλον παρ' αὐτῇ, λεγόμενον Δαοὺτ-πασσᾶ τζαμισὶ, κτισθὲν ἔτει σωτηρίῳ 1393 καὶ τοῦ Χιτζρὲ 795, καὶ κριτήριον λεγόμενον Δαοὺτ-πασσᾶ μεχκεμεσὴ, τὰ ὁποῖα ἐκτίσθησαν ἐπὶ τῶν ῥωμαίων βασιλέων τῆς Πόλεως, προσταγῇ καὶ θελήσει τοῦ πολιορκήσαντος αὐτὴν βασιλέως τῶν Ὀθωμανῶν Γιλδιρὶμ-Βαγιαζίτ.

Παΐσιον τὸν Ἀλεξανδρείας πατριάρχην τὸν προῤῥηθέντα, πατριαρχεύσαντα ἔτη πεντεκαίδεκα καὶ θανόντα, διεδέχθη ὁ Παρθένιος, ὁ κατ' ἄλλους Πρόχορος.

—

Ἔτει σωτηρίῳ 1678, τοῦ Χιτζρὲ 1089.

Ὁ προῤῥηθεὶς χάτμανος Δοροσκένκης ἀγανακτήσας προστίθεται τῷ βα-

σιλεῖ τῶν Μοσχόβων Θεοδώρῳ τῷ Ἀλεξίοβιτζ καταλιπὼν τοὺς Ὀθωμανοὺς, καὶ πέμπει πρέσβυν εἰς τὴν Μοσχοβίαν ἐκ μέρους παντὸς τοῦ γένους τῶν Καζάκων, συνισταμένων εἰς 60 χιλ. ἀνδρῶν. Ταῦτα μαθὼν ὁ σουλτὰν Μεχμὲτ, ἐλευθερώσας ἀπὸ τῆς εἱρκτῆς τῶν Ἑπτὰ Πύργων Γεώργιον τὸν Κεμιερνίνσκην, υἱὸν τοῦ Μπογδάνου Κεμιερνίνσκη, χατμάνου ποτὲ τῶν αὐτῶν Καζάκων, διορίζει καὶ πέμπει χάτμανον εἰς τοὺς αὐτοὺς Καζάκους, διὰ νὰ φέρῃ σύγχησιν καὶ διάσασιν ἐν αὐτοῖς μὲ τὸ μέσον τοῦ νέου χατμάνου, τὸν ὁποῖον ἐνόμισε νὰ προτιμήσουν τοῦ Δοροσκένκη διὰ τὴν ἐνθύμησιν τοῦ πατρός του Μπογδάνου Κεμιερνίνσκη. Περιποιεῖται οὖν αὐτὸν ὁ βεζίρης, γράφει τοῖς Καζάκοις ὁ Γεώργιος προτρέπων εἰς τὴν πρὸς τὸν σουλτάνον ὑποταγὴν, καὶ πέμπει τὰ γράμματα μὲ τὸν πιστόν του Σταματέλον, ἀλλ' οὐκ ἀκούουσιν αὐτοῦ οἱ Καζάκοι. Ταῦτα μαθὼν ὁ σουλτὰν Μεχμὲτ ἐγείρει πόλεμον κατὰ τῶν Καζάκων καὶ Μοσχόβων, καὶ διορίζει σερασκέρην τὸν αὐτὸν Σεϊτὰν-Ἰπραὴμ-πασσᾶν, τὸν καὶ πασσᾶν τῆς Δρύστρας, μὲ προσταγὴν τοῦ νὰ ἐπιβεβαιώσῃ μὲ ὅπλα τὴν χατμανίαν τῶν Καζάκων τῷ Γεωργίῳ αὐτῷ. Ἀπάρας οὖν ὁ Σεϊτὰν-Ἰπραὴμ-πασσᾶς κατὰ τὴν ς' τοῦ Ἰουνίου, καὶ διελθὼν τὴν Μολδαβίαν τε καὶ Ποδολίαν φθάνει εἰς τὴν Τζεχρὴν, μητρόπολιν τῶν Καζάκων, καὶ εὑρίσκει ἐκεῖ στρατόπεδον Μοσχόβων τε καὶ Καζάκων ὡσεὶ χιλ. 60. Εἶχεν ὁ Σερασκέρης μαζή του στρατὸν χιλ. 40, καὶ προσέμενε καὶ τοὺς Τατάρους ἐλθεῖν· οἱ Μοσχόβοι προϋπαντῶσιν αὐτοὺς καὶ κατακόπτουσι τὸν υἱὸν τοῦ χάνη, ὀκτὼ μιρζάδες καὶ 10 χιλ. στρατιωτῶν τατάρων, καὶ τῶν λοιπῶν οἱ μὲν ἔφυγον, οἱ δὲ ἐζωγρήθησαν. Οἱ Τοῦρκοι ταῦτα μαθόντες φεύγουσιν ἀμεταστρεπτεὶ καὶ διαπερῶσι τὸν ποταμὸν Μπὸγ, τουρκιστὶ Ἀκ-σουὶ λεγόμενον, ὅστις ῥέει μεταξὺ Βορυσθένους καὶ Νίστρου καὶ ἔχει τὰς ἐκβολάς του εἰς τὸν Βορυσθένην, ἄλλως Νίπρον, καὶ αὐτὸς εἰς τὸν Εὔξεινον Πόντον παρὰ τῇ πόλει Οὐζοὺ, ᾗ ὄνομα παρ' Ἕλλησιν Ὀλβιόπολις· ἔχει ὁ ποταμὸς Βορυσθένης παρὰ τὰς ἐκβολάς του καταῤῥάκτας πολλοὺς καὶ διὰ τοῦτο δὲν εἶναι πλευστὸς εἰς ἐκεῖνο τὸ μέρος ἀπὸ μεγάλα πλοῖα, μὲ ὅλον ὁποῦ ὑπάρχει βαθύτατος. Εἶναι καὶ ἄλλος ποταμὸς Μπὸγ εἰς τὴν Λεχίαν, ἀρχόμενος πλησίον τῆς Λεοπόλεως, καὶ τὰς ἐκβολὰς ἔχων εἰς τὸν ποταμὸν Βιστούλαν παρὰ τῇ πόλει τῆς Λεχίας Βαρσάβα.

Διατρίβει οὖν ὁ πρέσβυς τῶν Λέχων εἰς τὸ Δαοὺτ-πασσᾶ μῆνας ἑπτά. Τὸ πεῖσμα καὶ ἡ ὑπερηφάνεια τοῦ πρέσβεως λέχου ἤθελε χαλάσει τὴν ἀγάπην ἂν ὁ βεζίρης δὲν εἶχε σκοπὸν νὰ κινήσῃ πόλεμον κατὰ τῶν Γερμανῶν, καὶ ἂν δὲν ἤθελε μάθει τὴν εἰς τὸν βασιλέα τῶν Μοσχόβων Θεόδωρον Ἀλεξίοβιτζ προσήλωσιν τῶν προῤῥηθέντων Καζάκων σὺν τῷ χατμάνῳ Δοροσκένκῃ καὶ τὴν τοῦ Σεϊτὰν-Ἰπραὴμ-πασσᾶ ἧτταν. Ὅθεν ὑποκρινόμενος ὡς κρυψίνους, διώρισε τὸν ῥεϊς-ἐφένδην νὰ πραγματευθῇ τὴν ἀγάπην μὲ τὸν πρέσβυν, καὶ μόλις μετὰ μῆνας ἑπτὰ ἐτελείωσεν εἰς τὸν Δαοὺτ-πασσᾶ ἡ συμφωνία της, περιέχουσα ἄρθρα 32, δι' ὧν ἔμειναν ὑπὸ τὴν ἐξουσίαν τῶν Τούρκων ἡ Καμινίτζα καὶ οἱ Καζάκοι τῆς Ποδολίας· τοῖς δὲ Ταρτάροις κατοικηταῖς τῆς Λιτουανίας, λεγομένοις παρὰ Τούρκοις Λίπκα Ταταρὶ, τοῖς μέχρι τοῦδε ὑποτασσομένοις τοῖς Λέχοις, ἐδόθη ἄδεια ἂν θέλουν νὰ μετοικήσουν

εἰς τὰς ἐπαρχίας τῶν Ὀθωμανῶν, καὶ ἄλλα. Εἶτα ἐζήτησεν ὁ πρέσβυς εἰσελθεῖν εἰς τὴν Πόλιν μετὰ προπομπῆς, καὶ ἔλαβεν εἰς τὸ διβάνι τὴν ἐπικύρωσιν τοῦ σουλτὰν Μεχμὲτ εἰς τὰ 32 ἄρθρα τῆς προρρηθείσης συμφωνίας διὰ τὴν μεταξὺ Τούρκων καὶ Λέχων ἀγάπην, ἅπερ ὅρα εἰς τὴν διήγησιν τοῦ πολέμου τοῦ μεταξὺ Λέχων καὶ Τούρκων, συντεθεῖσαν παρὰ τοῦ Μοσιοὺ Δελακροά.

Ὁ σουλτὰν Μεχμέτης ἀσυνείθιστος εἰς τὰς ἥττας, μαθὼν τὰ κατὰ τὴν Τζεχρὴν, κινεῖται αὐτοπροσώπως εἰς πόλεμον κατὰ τῶν Μοσχόβων· Φθάσας σὺν τῷ στρατῷ εἰς τὸ Τατὰρ-Παζαρτζίκι προπέμπει μὲ στρατὸν τὸν Καρὰ-Μουσταφᾶ-πασσᾶν, ὅστις ἑνωθεὶς μὲ τοὺς Τατάρους παρὰ τῷ ποταμῷ Μπὸγ ἔρχεται εἰς τὴν Τζεχρὴν καὶ πέμπει τὸν κεχαγιάν του κατ' αὐτῆς· πολεμήσαντες ὥρας τέσσαρας μὲ τοὺς μοσχόβους φύλακας φονεύονται δύο χιλ. γιανιτζάρων σὺν τῷ κεχαγιᾷ· εἶτα ἐλθὼν ὁ βεζίρης πολιορκεῖ τὴν Τζεχρήν. Φθάνει ὡς τόσον καὶ τὸ στρατόπεδον τῶν Μοσχόβων ὑπὸ στρατηγῷ τῷ Ῥωμοδανόβσκη διαπεράσαν τὸν Βορυσθένην· ὁ βεζίρης πέμπει εἰς ἀπάντησιν αὐτοῦ τὸν ἡγεμόνα τοῦ Χαλεπίου Καρὰ-Μεχμὲτ-πασσᾶν καὶ διορίζει τὸν Καπλὰν-πασσᾶν νὰ στρατοπεδεύσῃ μεταξὺ τῆς πόλεως καὶ τοῦ στρατοπέδου τῶν Μοσχόβων, ὁποῦ ἀπέφυγον τὸν σὺν τῷ Καρὰ-Μεχμὲτ-πασσᾶν πόλεμον, καὶ καταπολεμήσαντες τὸν Καπλὰν-πασσᾶν ἐφυγάδευσαν. Τέλος πλησιάζοντος τοῦ χειμῶνος ὁ βεζίρης κινήσας πάντα λίθον παίρνει τὴν Τζεχρὴν μὲ μιαιφονίαν παμπληθῶν γιαννιτζάρων, φονευθέντων ὑπὲρ τὰς 30 χιλ. παρὰ τῶν Ῥώσσων, καὶ ἐπανακάμπτει εἰς τὴν Ἀδριανούπολιν μὲ πολὺν φθορὰν τῶν ἰδίων. Τοιούτους καρποὺς ἐτρύγησεν ὁ σουλτὰν Μεχμὲτ ἀπὸ τὸν πόλεμον εἰς τὴν Οὐκρανναν.

Ἀτάκτως καὶ φαυλοβίως ζῶν καὶ διάγων ὁ Παλαιῶν Πατρῶν Παΐσιος συνοδικῶς καθῃρέθη, καὶ ἰδοὺ τὸ ἴσον τοῦ γράμματος τῆς καθαιρέσεώς του.

« Τὴν κακίαν καὶ μοχθηρίαν παιδεύεσθαι μὲν δίκαιον ἀεὶ καὶ παντα-
» χοῦ ὑπὸ τῶν προστᾶναι λαχόντων καὶ τῆς κοινῆς σωτηρίας καὶ εἰρηνι-
» κῆς καταστάσεως τῶν ἁπανταχοῦ εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν
» φροντιζόντων· μάλιστα δὲ τὸ τοιοῦτον ἀναγκαῖόν ἐστι γίγνεσθαι ἐπει-
» δὰν ὁ τῆς κακίας ἐργάτης τὴν ἀρχιερατικὴν ἀξίαν τύχῃ ὢν ἐμπεπιστευ-
» μένος καὶ προστασίαν λαοῦ καὶ ψυχῶν πολλῶν ἐπιμέλειαν, καὶ διὰ τῆς
» παρ' ἀξίαν δοθείσης αὐτῷ ἀξίας διαδίδωσιν εἰς πολλοὺς τὸν ψυχόλεθρον
» ἰὸν τῆς ἰδίας μοχθηρίας· τὸ δὲ πλεῖστον, εἴπερ καὶ μετὰ πολλὰς νουθεσίας
» καὶ ἐπιτιμήσεις ἀδιόρθωτος φωραθῇ καὶ ἐπαύξων τὴν πονηρίαν· τότε
» γὰρ τότε κατὰ πᾶσαν ἀνάγκην ἀποβλητέος ἀπὸ τῆς ἧς ἔλαχε τάξεως, καὶ
» ταῖς ἐσχάταις καὶ μεγίσταις τῆς ἐκκλησίας παιδείας καθυποβλητέος ἀ-
» προκριματίστως, ὡς οὐκ ἂν θεραπευθῆναι τοῦ λοιποῦ δυνάμενος, καὶ ὡς
» μέλος σαπρὸν καὶ ἄχρηστον τῆς ἐκκλησιαστικῆς ὁλομελείας ἀποκοπῆναι
» χρεών. Ἐπειδὴ τοιγαροῦν καὶ ὁ παραχωρήσει θεοῦ φθάσας ὁπωσδήποτε
» ἀρχιερατεῦσαι μητροπολίτης Παλαιῶν Πατρῶν Κακοπαΐσιος, οὐ μόνον ἐκ
» πρώτης ἀφετηρίας καὶ ἐξ αὐτῶν, ὡς εἰπεῖν, προοιμίων τῆς ἀρχιερατείας
» αὐτοῦ ἐφάνη ἀχρεῖος καὶ ἀδόκιμος καὶ ἀνάξιος τοῦ ἀξιώματος καὶ ἐπαγ-

» γέλματος τούτου, καὶ ἀπελθὼν εἰς τὴν ἐπαρχίαν ταύτην οὐδὲν εὐσεβὲς
» καὶ θεάρεστον καὶ χριστιανικὸν ἔργον διενοήθη καὶ ἐβουλήθη διαπράξα-
» σθαι, ἀλλὰ ἀντὶ ποιμένος καὶ πνευματικοῦ πατρὸς λύκος αἱμοβόρος καὶ
» τύραννος ἀναδέδεικται, διασκορπίσας καὶ θύσας καὶ ἀπολέσας τὸ λογι-
» κὸν τοῦ Χριστοῦ ποίμνιον τὸ ἐν τῇ ἐπαρχίᾳ αὐτοῦ· ἀλλ' ἔτι καὶ μηδένα
» κόρον λαβεῖν δυνάμενος τῶν ὧν ἐτόλμησε κακουργημάτων ἐν τῇ ἰδίᾳ αὐ-
» τοῦ ἐπαρχίᾳ, μετέβη καὶ ἐπεπήδησε ληστρικῶς καὶ παρανόμως καὶ ἀλλο-
» τρίαις ἐπαρχίαις, κατατρέχων καὶ ληΐζόμενος, ὥσπερ τις ἐπίσημος ληστής,
» καὶ τὰς λοιπὰς ἐν Πελοποννήσῳ ἐπαρχίας καὶ τοὺς ἐν αὐταῖς ἀρχιερα-
» τεύοντας συνταράττων καὶ συγχυκῶν, καὶ παρ' ἐνορίας χειροτονίας ἀνυπο-
» στόλως ἐκτελῶν, καὶ μυρία κακὰ ὁσημέραι σατανικῶς μηχανώμενος καὶ
» τεκταίνων· ὧν ἕνεκα πονηρευμάτων αὐτοῦ καὶ καθαιρέσει ὑπόδικος γε-
» γονὼς πάλιν ἠξιώθη παρ' ἡμῖν φιλανθρωπίας ἐκκλησιαστικῆς καὶ συγχω-
» ρήσεως ἐπὶ ὑποσχέσει καὶ ἐλπίδι τοῦ ἀποχὴν ποιῆσαι τῶν τετολμημένων
» καὶ μεταβολὴν εἰς σώφρονα βίον· ἀλλ' αὐτὸς οὐ μόνον οὐκ ἐσωφρονίσθη
» οὐδ' ἀπέσχετο, ἀλλ' ἐπηύξησε τὴν μοχθηρίαν αὐτοῦ, τὴν ἡμετέραν μακρο-
» θυμίαν πρόφασιν καὶ ὄργανον τῆς μοχθηρίας αὐτοῦ ποιησάμενος· ὑπὸ γὰρ
» τῆς ἀκρίτου καὶ σατανικῆς αὐτοῦ πλεονεξίας καὶ φιλαργυρίας κινούμενος
» πάντα κάλων, τὸ τοῦ λόγου, ἐκίνει καὶ πᾶσαν ἀδικίαν καὶ ἁρπαγὴν ἐτόλ-
» μησεν, ἅς τινας κακίας αὐτοῦ καθ' ἕκαστον ἀριθμεῖν καὶ ἐπὶ λεπτοῦ διη-
» γεῖσθαι παραιτούμεθα, τὸ αἰσχρὸν τῆς ἀφηγήσεως καὶ τὸ μῆκος τοῦ λό-
» γου ἐκκλίνοντες· ἐπεὶ δὲ ἐκορυφώθη ἤδη ἡ κακία αὐτοῦ καὶ εἰς τὸν ἔσχα-
» τον καὶ μέγαν ἦρθη βαθμόν, ἐν ᾧ οὐδεμία ὑπελείφθη ἐλπὶς μεταμελείας
» καὶ διορθώσεως, καὶ τὰ τραύματα τῆς κακίας αὐτοῦ ἀθεράπευτα καὶ ἀνί-
» ατα ἤδη ἐγένοντο, αὐτός τε φυγόδικος καὶ λειποτάκτης ἐγένετο, καὶ
» ᾤχετο ἐκ μέσου φυγὰς γενόμενος καὶ δραπέτης, ὡς ἐπονείδιστος καὶ
» ἐφύβριστος καὶ οὐδὲ ἐμφανισθῆναι πλέον εἰς μέσον τολμῶν καὶ πρό-
» σωπον ἔχειν διὰ τὰς πολυειδεῖς αὐτοῦ κακίας· τούτου χάριν συνο-
» δικῇ διαγνώσει δέδοκται καὶ ἀπεφάνθη αὐτὸν μὲν καθαιρέσει παντελεῖ
» καθυποβληθῆναι καὶ ἐξωσθῆναι τῆς ἐπαρχίας αὐτοῦ· καὶ γὰρ, κατὰ
» τὸν Οὐρανοφάντορα, **οὗ ἡ ἀρχὴ ἀδόκιμος καὶ τὸ πᾶν ἀ-**
« **βέβαιον**, ἄλλον δὲ ἀντ' αὐτοῦ ἀποκατασταθῆναι ἀρχιερέα Παλαιῶν
» Πατρῶν. Καὶ δὴ γράφαντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων
» ἀρχιερέων καὶ Ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελ-
» φῶν καὶ συλλειτουργῶν, ἀποφαινόμεθα ὅτι ὁ ὁπωσδήποτε χρηματίσας Πα-
» λαιῶν Πατρῶν Κακοπαΐσιος καθῃρημένος ὑπάρχει πάσης ἀρχιερατικῆς ἐν-
» εργείας καὶ τάξεως, καὶ ἔκπτωτος τοῦ ἀρχιερατικοῦ καταλόγου, καὶ ἀπό-
» βλητος, καὶ ἐστερημένος τῆς θείας χάριτος, μηδεμίαν ἄδειαν ἔχων ἀρχιερα-
» τικὴν ἐνδυθῆναι στολὴν » καὶ τὰ ἑξῆς.

—

Ἐτεῖ σωτηρίῳ 1679, τοῦ Χιτζρὲ 1090.

Οἱ Καζάκοι λεηλατοῦσι τὰ παράλια τοῦ Εὐξείνου Πόντου· ὁ βεζίρης διὰ νὰ τοὺς ἐμποδίσῃ προτίθεται νὰ κτίσῃ φρούριον παρὰ τῇ Ὀζοῦ· πέμπει τὸν Μεϋμάρ-ἀγᾶν καὶ τὸν Καπλὰν-πασσᾶν μὲ 6 χιλ. γιαννιτζάρους διὰ νὰ τὸ κτίσουν εἰς τὰς ἐκβολὰς τοῦ Βορυσθένους, ἐλπίζων μὲ αὐτὸ νὰ ἐμποδίσῃ τοὺς Καζάκους τῆς Ζαπορόβας ἀπὸ τοῦ νὰ παίρνουν ἅλας, καὶ διὰ τοῦτο νὰ ὑποταχθοῦν τῇ τῶν Ὀθωματῶν βασιλείᾳ. Τούτου οὖν κτιζομένου ὁ στρατηγὸς τῶν Καζάκων Ζαποροβάνων Κίρκος, ἐπανακάμπτων ἀπὸ τῆς κατὰ τῶν Ταρτάρων λεηλασίας μὲ 15 χιλ. Καζάκων, ἐπιστὰς τῷ τόπῳ φονεύει καὶ τοὺς μαΐστορας καὶ τοὺς δεφενδεύοντας γιαννιτζάρους, καὶ σὺν αὐτοῖς καὶ τὸν ῥηθέντα Γεώργιον τὸν Κερμιενίνσκην, καὶ δίδει εἴδησιν τῶν συμβάντων τῷ βασιλεῖ τῶν Μοσχόβων Θεοδώρῳ τῷ Ἀλεξίοβιτζ, ὅστις προστάττει τὸν στρατηγὸν Δολγορούκην, διάδοχον τοῦ ῥηθέντος Ῥωμοδανόβσκη, νὰ ἑνωθῇ μὲ τὸν Κίρκον καὶ νὰ ἐμποδίζῃ κάθε κίνημα καὶ ἐπιχείρημα τῶν Ὀθωμανῶν. Ταῦτα μαθὼν ὁ βεζίρης ζητεῖ τὴν ἀγάπην παρὰ τῶν Μοσχόβων καὶ εἰσακούεται παρ' αὐτῶν, καὶ οὕτωσὶ ἐτελείωσεν ὁ ἐπιβλαβὴς αὐτὸς εἰς τοὺς Ὀθωμανοὺς πόλεμος.

Δευτέρα πατριαρχεία Διονυσίου τοῦ Μουσελίμη.

Πάλιν καὶ πάλιν τῇ συνεργείᾳ τῶν μητροπολιτῶν ἐξοῦται ὁ πατριάρχης Παρθένιος ὁ Μογιλάλος, καὶ ἀναβιβάζεται εἰς τὸν Οἰκουμενικὸν θρόνον τὸ δεύτερον Διονύσιος ὁ Δ', ὁ Μουσελίμης, Ἰουλίου τῇ κθ'. Σώζεται τούτου συνοδικὸν διὰ τὴν μίτραν τοῦ Κεφαληνίας οὕτω πως ἔχον.

« Τὰ σημαντικὰ τῶν ἀρετῶν προτρεπτικὰ τῶν κατ' ἀρετὴν ζώντων γί-
» γνεται· αὐτίκα γὰρ διὰ τοῦτο ἐν ταῖς βασιλικαῖς σημαίαις καὶ ἐν ταῖς
» πατριαρχικαῖς σφραγίσιν ἀετὸς δικέφαλος ζωγραφίζεται, ἵνα τὸ διττὸν
» τῆς μεγαλοπρεποῦς ἀξίας, σώματος δηλαδὴ καὶ ψυχῆς, ἀξίωμα ὑποση-
» μαίνηται. Κύριος γὰρ ὢν ὁ βασιλεὺς πάντων τῶν ὑπὸ τὴν αὐτοῦ ἀρχὴν
» τεταγμένων ἀνθρώπων, μάλιστα κύριος γενέσθαι καὶ τῶν κατὰ ψυχὴν
» αὐτῷ καὶ σῶμα παθῶν ἐπάναγκες. Οὕτω καὶ ὁ ἀρχιερεύς· καὶ γὰρ ὁ
» τῶν οἰκείων πασῶν μὴ δυνάμενος κυριεῦσαι ἥκιστα κυριεύσει τῶν ἀλλο-
» τρίων. Τί δὲ τὰ ἱερὰ ἄμφια; οὐχ ἕκαστον σημαντικὸν ἐνεργείας τυγ-
» χάνει; τὸ μὲν ὠμοφόριον κατὰ μίμησιν τοῦ ἀρχιποίμενος ἡμῶν Χριστοῦ,
» ἐπ' ὤμων αἴρειν τὰ βάρη τῶν χριστιανῶν καὶ πληροῦν τὸν τοῦ Χριστοῦ
» νόμον ὑποδηλοῖ, κατὰ τὸν θεῖον Ἀπόστολον, ὡς καὶ αὐτὸς ὁ Κύριος ἐ-
» βάσταζε τὰς νόσους πάντων καὶ ἦρε τὰς ἁμαρτίας ἡμῶν· τὸ δὲ ἐπιτρα-
» χήλιον τὸν κατὰ τὸν Χριστὸν δεσμόν, δι' οὗ πρὸς αὐτὸν τὸν Χριστὸν
» δεύμεθα, ὡς καὶ αὐτὸς ὁ σωτὴρ δεσμευθεὶς ἤγετο ἵνα ἡμᾶς τῶν δεσμῶν
» ἀπολύσῃ· ἀλλὰ καὶ τὸ ἐπιγονάτιον τὴν ῥομφαίαν σημαίνει δι' ἧς καὶ οἱ
» ἱερεῖς, ὡς ὁ ἀρχιθύτης Χριστός, τὴν ἁμαρτίαν τέμνουσιν ἀπὸ τῆς ψυχῆς

» καὶ τὴν κακίαν ἀπὸ τῆς ἀρετῆς· τὸ δὲ ὑφελώνιον τὸν ἄνωθεν ὑφαντὸν χι-
» τῶνα τοῦ Κυρίου ἡμῶν, καὶ ὡς ἐκεῖνος ἦν τῆς ἄνωθεν καὶ ἐκ δυνάμεως τοῦ
» Πνεύματος ὑφανθείσης σαρκὸς τοῦ Κυρίου ἡμῶν, οὕτω καὶ ὁ παρὼν τυγχάνει
» σημαντικὸς τῆς ἄνωθεν καὶ ἐκ δυνάμεως τοῦ Πνεύματος ἐξυφανθείσης θείας
» χάριτος, ἱερωσύνης τε καὶ ἀρχιερωσύνης· τοῦ σάκκου δὲ ἡ σημασία διττὴ·
» ἡ μὲν ὡς βασιλέα τῶν παθῶν ὑπαινίττουσα τὸν ἀρχιερέα, βασιλικὸν γὰρ
» τὸ ἄμφιον· ἡ δὲ ὡς διηνεκεῖ παρακλήσει προσκείμενον τὸν φέροντα, καὶ ὡς
» ἐν τῇ ἱερουργίᾳ μεσιτεύοντα πρὸς τὸν πατέρα τῶν φώτων ὑπὲρ τοῦ λαοῦ·
» σάκκον γὰρ ἔκπαλαι ἐνεδιδύσκοντο οἱ τῇ μετανοίᾳ προσκείμενοι· ὅθεν ὁ Δα-
» βὶδ ἔλεγεν· Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν με ἐνεδυόμην
» σάκκον. Τὸ δὲ φέρειν μίτραν τοὺς ἀρχιερεῖς πάντας καὶ μάλιστα τυγ-
» χάνει τεκμήριον τοῦ ἀκανθίνου στεφάνου σημαντικώτατον· κεφαλὴ γὰρ τοῦ
» σώματος ἁπάσης τῆς ἐκκλησίας ὁ Χριστός, ὡς καὶ ἐν ἑκάστῃ παροικίᾳ κα-
» ταχρηστικῶς ἕκαστος ἀρχιερεύς· καὶ ὥσπερ ὁ σωτὴρ τὸν ἀκάνθινον στέ-
» φανον φέρων ὑπὸ τῶν μανιωδῶν Ἰουδαίων ἐνεπαίζετο, ὡς δῆθεν βασιλέα
» ἑαυτὸν ὀνομάσας, οἱ φέροντες ταύτην ἀρχιερεῖς, μετατιθέμενοι τὸν ἐμπαιγ-
» μὸν εἰς τιμήν, δι' αὐτῆς, ὡς ἀληθῶς, βασιλέα καὶ κύριον πάντων τὸν σω-
» τῆρα δεικνύουσιν· ὅθεν καὶ λίθοις κοσμεῖται ποικίλοις, τὴν ποικιλό-
» τητα τῶν ἐν τῇ ἁγίᾳ τοῦ Χριστοῦ κεφαλῇ ἀρετῶν ὑποσημαίνουσα· καὶ
» δήπου μεταφορικῶς ταύτῃ, καὶ ἐν τῇ κεφαλῇ τοῦ ἀρχιερέως δέον προσεῖ-
» ναι, ὡς τύπον ἐκείνου σώζοντος. Διά τοι τοῦτο καὶ ἐν ἁπάσαις ταῖς ἐπισή-
» μοις τῶν παροικιῶν, πλουτούσαις ἀρχιερέων ἀρεταῖς πεποικιλμένων, παρὰ
» τῆς Οἰκουμενικῆς καθέδρας φέρειν τούτους μίτραν ἐνδέδοται, ἐφ' ᾧ καὶ
» τῶν προσουσῶν ἀρετῶν ἐνδεικτικὴν εἶναι καὶ παροτρυντικὴν εἰς τοὺς μετέ-
» πειτα. Καὶ δὴ καὶ τῆς παροικίας Κεφαληνίας ἐπισήμου τυγχανούσης πο-
» λιτείας, πλουτούσης τε καὶ ἀρχιερέως ἤθεσι χρηστοῖς τε κεκοσμημένου,
» ἐκρίναμεν δέον καὶ μίτρᾳ τοῦτον κοσμῆσαι πρὸς τοῖς οἷς ἀμφιέννυται ἱε-
» ροῖς ἀμφίοις, πρὸς τιμὴν αὐτοῦ τε καὶ τῆς παροικίας ταύτης. »

« Τούτου χάριν ἡ Μετριότης ἡμῶν γράφει καὶ ἀποφαίνεται ἵνα ἀπὸ τοῦ
» νῦν ὁ θεοφιλέστατος αὐτὸς ἀρχιεπίσκοπος δηλονότι τῆς Κεφαληνίας καὶ
» Ζακύνθου κὺρ Παΐσιος, ἐν Ἁγίῳ Πνεύματι ἀγαπητὸς αὐτῆς ἀδελφὸς καὶ
» συλλειτουργός, φέρῃ ἐπὶ κεφαλῆς αὐτοῦ μίτραν ἐν ταῖς ἱεραῖς αὐτοῦ τε-
» λεταῖς, δοξάζων καὶ ὑμνῶν τὸν σωτῆρα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν,
» διανοούμενος, ἡνίκα ταύτην φορῇ, ὅτι αὐτὸς ὁ σωτὴρ ἡμῶν ἐξ ἀκανθῶν
» σκληροτάτων στέφανον ἔφερεν ὅτε τὸ κοσμοσωτήριον ἤνυε πάθος, οὗ ἡ
» πανάχραντος κεφαλὴ αἵμασι κατερράίνετο διὰ τὴν ἡμῶν σωτηρίαν· ὅθεν
» φέρων μὴ μεγαλοφρονῇ ἀλλὰ ταπεινῆται διὰ τὸν ὑψώσαντα ἡμᾶς, ἵνα
» νοερῶς συνυψῆται καὶ δάκρυα καταχέῃ ὡσανεὶ τὰ στίγματα ἐκείνου ἐν
» τῷ σώματι περιφέρων. Ὅθεν καὶ εἰς ἔνδειξιν τῆς φιλοτιμίας ταύτης καὶ
» δωρεᾶς ἐγράφη τὸ παρὸν ἡμέτερον γράμμα, σιγγιλίου ἔχον λόγον, καὶ ἐ-
» δόθη τῷ θεοφιλεστάτῳ αὐτῷ ἀρχιεπισκόπῳ Κεφαληνίας καὶ Ζακύνθου
» Κὺρ Παϊσίῳ, ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ
» τῆς ἡμῶν Μετριότητος, ἐν ἔτει ᾳχοθ'. »

Ἐπανακάμψας ὁ ῥὴξ Σομπιέσκης εἰς τὰ ἴδια συναθροίζει Δίαιταν καὶ ἐπεκύρωσε τὴν εἰρήνην, μὲ ὅλον ὁποῦ ἀντέφασκεν αὐτῷ ὁ ῥὴξ τῶν Γερμανῶν Λεοπόλδος ὁ Α. Εἶτα πέμπει πρέσβυν εἰς τὴν Κωνσταντινούπολιν τὸν παλατῖνον Κούλμην.

Θνήσκει ὁ βεζίρης Κιοπρολόγλους Ἀχμὲτ-πασσᾶς, καὶ γίνεται βεζίρης ὁ Καρὰ-Μουσταφᾶ-πασσᾶς.

—

Ἔτει σωτηρίῳ 1682.

Πόλεμος κατὰ τῶν Γερμανῶν, Λέχων τε καὶ Μοσχόβων.

Ἐμέριχος ὁ Τέκελης, εἷς τῶν προὐχόντων τῆς Οὐγγρίας, ἀποστατεῖ κατὰ τοῦ καίσαρος τῆς Γερμανίας Λεοπόλδου καὶ κινεῖ εἰς τὴν κατ' αὐτοῦ ἀποστασίαν πάντα τῆς Οὐγγρίας τὰ μέρη τὰ μέχρι τοῦδε ὑποτασσόμενα τῷ καίσαρι· καὶ στοχαζόμενος ὅτι οὐ δυνήσεται μόνος πολεμῆσαι τῷ καίσαρι, καὶ ταῦτα λυτρωθέντι τοῦ κατ' αὐτοῦ φραντζεζικοῦ καὶ σβετζικοῦ πολέμου, προστίθεται τοῖς Ὀθωμανοῖς ζητῶν τὴν παρ' αὐτῶν συμμαχίαν, ὑποσχεθεὶς τελεῖν αὐτοῖς ἀνὰ ἔτος 40 χιλ. ῥηξδέλια, καὶ ἔχειν ἑτοίμους πάντοτε διὰ συμμαχίαν τῶν Ὀθωμανῶν 30 χιλ. πολεμιστῶν. Ἡ ὀθωμανικὴ αὐλὴ ἐπὶ τούτῳ διχογνωμεῖ· καὶ ἡ μὲν Βαλιδὲ μὲ τοὺς οὐλεμάδες ἔλεγον ὅτι πρέπει νὰ φυλαχθῇ ἡ συμφωνία τῆς ἀγάπης ὅπου ἔγινε μὲ τοὺς Νέμτζους, μὲ τὸ νὰ μὴν ἔδωκεν ὁ καῖσαρ οὐδεμίαν αἰτίαν διὰ τὴν διάλυσίν της· ἐξ ἐναντίας ὁ βεζίρης καὶ ὁ σουλτὰν Μεχμὲτ ἀντέφασκον, λέγοντες ὅτι διαλυτέα ἡ ἀγάπη διὰ τὴν αὔξησιν τοῦ μουσουλμανισμοῦ καὶ τῆς βασιλείας, οὔσης μεγάλης εὐκαιρίας ταύτης τοῦ ὑποτᾶξαι τὴν Βιέννην καὶ ἀκολούθως πᾶσαν τὴν Γερμανίαν· πρὸς τούτοις ἔλεγεν ὁ σουλτάνος ὅτι διὰ τὰ ἔξοδα τοῦ πολέμου δὲν θέλει δώσει ἐνόχλησιν τῷ ὑπηκόῳ μὲ νέας τελεσφορίας, μὲ τὸ νὰ ἔχῃ εἰς τὸ γαζοφυλάκιον ἕτοιμα 70 χιλ. πουγγεῖα, καὶ ἀποθήκας πλήρεις παντοίων ἐφοδίων, καὶ στρατὸν πολυάριθμον. Ὁ βεζίρης οὖν Καρὰ-Μουσταφᾶς γυρίζει εἰς τὴν γνώμην του μὲ δῶρα τοὺς προεσῶτας τῶν γιαννιτζάρων, πείθει καὶ τὴν Βαλιδὲ-σουλτάναν ὅτι μετὰ τὸν πόλεμον αὐτὸν θέλει αὐξήσει τὸ ἐτήσιον εἰσόδημά της μὲ πουγγεῖα 300 κοντὰ εἰς τὰ λοιπὰ 1,000 ὁποῦ κατὰ τὸ παρὸν ἔχει. (Αὕτη ἡ Βαλιδὲ εἶχε μεγάλην δύναμιν, καὶ εἰς τὰ συμβούλια εὑρίσκετο, καὶ εἰς κάθε ὑπόθεσιν τῆς βασιλείας ἐζητεῖτο ἡ γνώμη καὶ ἀπόφασίς της.) Συγκατανευσάσης οὖν τῆς Βαλιδὲ, καὶ τῶν γιαννιτζάρων ἀναβοώντων τὸ ὅτι θέλουν πόλεμον κατὰ τῶν Γερμανῶν, δίδει τέλος πάντων ὁ μουφτὴς καὶ τὸν φετβᾶν, καὶ ἀποφασίζεται τῷδε τῷ ἔτει ὁ κατὰ τῆς Γερμανίας πόλεμος, καίτοι ἀναβοώντων τῶν λοιπῶν Ὀθωμανῶν ἄδικον εἶναι, διὰ τὴν παράβασιν τῶν ἐν τῇ

συμφωνίᾳ τῆς προῤῥηθείσης ἀγάπης ὅρκων, καὶ διὰ τὸ ἀνάθεμα τοῦ σουλτὰν Σουλεϊμὰν (ὅρα ἔτει 1530). Πρόφασιν οὖν ζητῶν ὁ βεζίρης τοῦ κηρῦξαι τὸν πόλεμον εὐλογοφανῶς, πέμπει γράμματα τῷ καίσαρι γράφων ὅτι ὁ Τέκελης ὑπετάγη τῇ βασιλείᾳ, καὶ νὰ ἐβγάλῃ ὁ καῖσαρ τὰ εἰς τὴν Οὐγγρίαν στρατεύματά του καὶ νὰ ἐπιστρέψῃ τὰ ἁλωθέντα, διὰ νὰ μὴ χαλάσῃ τὴν εἰρήνην καὶ παιδευθῇ ἡ αὐθάδειά του. Ἔγνω ὁ Λεοπόλδος τὸν σκοπὸν τῶν Ὀθωμανῶν, ὅθεν πέμπει πρέσβυν τὸν Καπράραν νὰ κινήσῃ πάντα λίθον διὰ νὰ ἐμποδίσῃ τὸν πόλεμον. Ὁ βεζίρης χωρὶς νὰ προσμείνῃ τὸν ἐρχομὸν τοῦ πρέσβεως πέμπει τῷδε τῷ ἔτει τὸν Ἰπραὴμ-πασσᾶν, μπεϊλέρπεη τῆς Βούδας, εἰς βοήθειαν τοῦ Τέκελη, καὶ προστάττει τὸ νὰ σταλθῇ ὁ ἡγεμὼν τῆς Τρανσυλβανίας, ἄλλως Ἐρδελίας, νὰ συμμαχήσῃ καὐτὸς τῷ Τέκελῃ. Ἐλθόντες οὖν ὑποτάσσουσι τὰς πόλεις τῆς Οὐγγρίας Κασοβίαν, Ἐπερίαν, Λεύτοχεν, Λεβέντο, Λίποχτιν καὶ Τίλεκ. Εἶτα προστάττει τὸν αὐτὸν πασσᾶν τῆς Βούδας νὰ ἀναγορεύσῃ ῥῆγα τῆς Οὐγγρίας τὸν Τέκελην, καὶ προβάλλει τῷ Καπράρᾳ ἄρθρα περὶ εἰρήνης τὰ ἑξῆς: ὅτι ἡ Οὐγγρία νὰ βαλθῇ εἰς τὴν κατάστασιν ὅπου ἦτο τῷ ἔτει τοῦ Χιτζρὲ 1067· νὰ πληρώνῃ τῇ βασιλείᾳ τῶν Ὀθωμανῶν δασμὸν ἐτήσιον 500 χιλ. φλορίνια· νὰ κρημνισθοῦν τὰ ἐν τῇ Οὐγγρίᾳ ὀχυρώματα Λεπολδόπολις καὶ Γούτα· νὰ παραδοθῶσιν εἰς τὸν Τέκελην τὰ ὀχυρώματα Νευστρασίντα, Ἐκόλτ, σὺν τῇ νήσῳ Σκούτᾳ καὶ τῷ ὀχυρώματι Μουράν· καὶ ὅλοι οἱ Οὔγγροι νὰ ἀναλάβωσι τὰ κτήματα καὶ προνόμιά τους, καὶ νὰ γένῃ ἀμνηστεία παντελὴς τῶν παρελθόντων. Ὁ πρέσβυς Καπράρας δὲν ἠμποροῦσε ν' ἀποφασίσῃ εἰς τοιαῦτα ἀλλόκοτα ἄρθρα καὶ προσέμενε τὴν ἀπόκρισιν τοῦ καίσαρος, ἥτις πρὸ τοῦ νὰ φθάσῃ, ὁ σουλτάνος κοινοποιεῖ τὸν κατὰ τοῦ καίσαρος πόλεμον, καὶ ἐβγάζει τὰ τούγια ἔξω, κατὰ τὴν συνήθειαν, τὸ σημεῖον τῆς ἐκστρατείας, καὶ ἀπάρας τῆς Κωνσταντινουπόλεως ἔρχεται εἰς τὴν Ἀδριανούπολιν μαζὶ μὲ τὸν βεζίρην διὰ νὰ τελειώσουν ὅλας τὰς ἑτοιμασίας.

Τούτῳ τῷ ἔτει βασιλεύει εἰς τὴν Ῥουσσίαν ὁ Ἰωάννης σὺν τῷ ἀδελφῷ Πέτρῳ τῷ Μεγάλῳ καὶ τῇ ἀδελφῇ Σοφίᾳ, Ἀλεξιοβίτζιδες· ὧν ὁ μὲν Ἰωάννης ὁμομήτριος ἦν τῷ ῥηθέντι βασιλεῖ Θεοδώρῳ τῷ ἤδη θανόντι· ὁ δὲ Πέτρος υἱὸς Ἀλεξίου μὲν καὶ αὐτὸς, ἀλλ' ἐξ ἑτέρας γυναικὸς, Ναταλίας δηλαδὴ τῆς Κυριλέβνης.

—

Ἔτει σωτηρίῳ 1683, τοῦ Χιτζρὲ 1094.

Πάντων οὖν ἑτοιμασθέντων τῶν ἐφοδίων, στρατοῦ τε πολλοῦ συναχθέντος, ἀναχωροῦσι τῆς Ἀδριανουπόλεως, καὶ ὁ σουλτὰν Μεχμὲτ ἔρχεται εἰς τὸ Χισαρτζίκι, κώμην ἀπέχουσαν τῆς Ἀδριανουπόλεως μίλια 16. Λαβὼν οὖν ὁ βεζίρης τὸ σαντζὰκ-σερίφι παρὰ τοῦ σουλτάνου, ὁ μὲν σουλτάνος ἤψατο τῆς εἰς Κωνσταντινούπολιν ὁ δὲ βεζίρης τῆς εἰς τὴν Οὐγγρίαν, καὶ μετὰ ἡμέρας διαβὰς τὸν Δούναβιν ἔρχεται σὺν τῷ στρατῷ εἰς τὴν πόλιν τῆς Οὐγγρίας Ἐρσέκι, ὅπου ἀπαντᾷ αὐτῷ ὁ Τέκελης μὲ 300 εὐγενεῖς

Οὔγγρους. Ἐδεξιώθη τὰ μέγιστα αὐτὸν ὁ βεζίρης καὶ δωρεὰς ἔδωκε πολλάς· εἶτα ἀθροίσας ὅλους τοὺς πασσάδες καὶ τὸν Τέκελην, βουλεύεται τὸ ἂν ὠφελῇ ἡ κατὰ τῆς Βιέννης ἔφοδος. Καὶ ὁ Τέκελης καὶ οἱ πασσάδες συμβουλεύουν ὅτι ἐπωφελέστερον τὸ νὰ ὑποτάξῃ τὴν Οὐγγρίαν ἐφέτος καὶ νὰ ἀφήσῃ τὴν τῆς Βιέννης πολιορκίαν· ἀλλὰ αὐτὸς παρακούσας πάντων, ἀφοῦ ἔφθασε καὶ ὁ Ταταρχάνης μὲ τοὺς ὑπ' αὐτῷ πολυαρίθμους Ταρτάρους, καὶ ἐδεξιώθη αὐτὸν τὰ μέγιστα, ἔρχεται εἰς τὸ Γιαβαρῖνο, πόλιν τῆς Οὐγγρίας, κἀκεῖσε μαθὼν ὅτι νὰ μετῴκησεν ὁ Λεοπόλδος εἰς τὸ Λίντζο, ἅπτεται σὺν τῷ στρατῷ τῆς πρὸς τὴν Βιέννην, καταλιπὼν εἰς τὴν πολιορκίαν τοῦ Γιαβαρίνου τὸν Κιὸρ-Χουσεῖν-πασσᾶν, καὶ φθάσας ἤρξατο τῆς πολιορκίας σφοδρότατα· καὶ ὑπαγαγὼν ἐντὸς ὀλίγου τὰ περὶ αὐτὴν προάστεια καὶ κρημνίζων καθ' ἡμέραν μέρη τῶν τειχῶν αὐτῆς, ὥστε ἄφευκτον εἶναι ἤδη τὴν αὐτῆς ἅλωσιν, ὀλιγοστεύει τὴν σφοδρότητα τῆς ὁρμῆς, καὶ ἤρξατο φαντάζεσθαι τὸ νὰ γένῃ βασιλεὺς αὐτὸς τῆς Δύσεως μετὰ τὴν ἅλωσιν τῆς Βιέννης· ὅθεν ἐσμίκρυνε τὰς ἐφόδους, διὰ νὰ οἰκειοποιηθῇ ἐν τῷ μεταξὺ τοὺς πασσάδες καὶ λοιποὺς προὔχοντας καὶ νὰ τοὺς κάμῃ ὁμόφρονάς του.

Ὁ νέος πάϊλος τῆς Βενετίας Πέτρος ὁ Κβιρίνης ἔρχεται εἰς τὴν Πόλιν μὲ δύο ναυμαχικὰς νῆας. Ὁ γιουμρουκτζὴς μαθὼν ὅτι νὰ εἶναι εἰς τὰ καράβια πρᾶγμα πολὺ ἐμπόρων, πατεῖ τὰ καράβια, παρὰ πᾶσαν συνήθειαν, καὶ παίρνει τὸ γιουμροῦκι. Μετά τινας ἡμέρας εὐγενής τις Ἐνετὸς ὁποῦ εἶχε σκλαβωθεῖ εἰς ναυμαχίαν τινὰ καὶ ἦτον εἰς τὴν Πόλιν παρὰ τῷ δεσπότῃ αὐτοῦ τούρκῳ, φυγὼν κρύπτεται εἰς τὰ δύο αὐτὰ καράβια, μὲ τὰ ὁποῖα ἔμελλε νὰ ἐπιστρέψῃ εἰς Βενετίαν ὁ πρώην πάϊλος Μοροζίνης. Ὁ Τοῦρκος μὲ ἀρζουχάλι, ἤτοι λίβελλον, ζητεῖ νὰ τοῦ δοθῇ ὁ σκλάβος ὁποῦ ἔφυγε καὶ ἐκρύβη εἰς τὸ βενέτικον καράβι. Προσετάχθη παρὰ τοῦ καϊμακάμη Καρὰ-Ἰπραὴμ-πασσᾶ ὁ ποσταντζήπασης νὰ ἐξετάσῃ διὰ τὸν σκλάβον μέσα εἰς τὰ καράβια· ἐλθόντι λέγει ὁ καπετάνος τὸ ὅτι δὲν ἔχει φυγάδα ἐν τῇ νηΐ· ὁ ποσταντζήπασης θέλει νὰ ἐξετάσῃ, ὁ καπετάνος δὲν τὸν ἀφίνει, βιάζει τὴν εἴσοδον ὁ ποσταντζήπασης, ἁρματώνονται οἱ ναῦται καὶ πολεμοῦσιν· ὑπερισχύει ὁ ποσταντζήπασης καὶ εὑρίσκει τὸν φυγάδα ἐν τῇ νηΐ, καὶ τοὺς λοιποὺς σιδηροδεσμεῖ, καὶ διορίζει φύλακα χασεκὴν νὰ τοὺς φυλάττῃ· ἐδόθη καὶ τῷ Τούρκῳ ὁ φυγὰς σκλάβος. Ἀλλ' ὁ σουλτάνος μαθὼν ὅτι αὐθαδίασαν οἱ Ἐνετοὶ νὰ ὁπλοφορήσουν κατὰ τοῦ ποσταντζήπαση ἔνδον τοῦ λιμένος τῆς Κωνσταντινουπόλεως, εἱρκτῇ παραδίδωσι καὶ τοὺς δύο παίλους, καὶ μετὰ πολλὰ τοὺς βιάζει νὰ ἀγοράσουν ἀδροῦ τιμήματος τοὺς ἐν τῇ νηΐ σιδηροδεσμίους ναύτας, ὃ καὶ ἐγένετο μὲ πληρωμὴν πολλῶν πουγγείων. Ἡ ἀριστοκρατία ταῦτα μαθοῦσα ὑποφέρει καὶ ἄκουσα τὴν τοιαύτην καταφρόνησιν καὶ ζημίαν, διὰ τὸν φόβον της καὶ τὸ ἄδηλον τέλος τοῦ κατὰ τῶν Γερμανῶν πολέμου. Ὁ σουλτάνος προστάττει ὅτι τοῦ λοιποῦ τὰ καράβια ὁποῦ φέρουν τὸν ἐλτζὴν τῶν Ἐνετῶν νὰ μὴν εἰσέρχωνται μέσα εἰς τὰ Κάστρα μόνον νὰ μένουν εἰς τὴν Τένεδον, καὶ ὁ πάϊλος νὰ ἐπιβαίνῃ κατέργου τουρκικοῦ καὶ νὰ ἔρχεται ἐκεῖθεν εἰς τὴν Κωνσταντινούπολιν, τὸ ὁποῖον οὕτω γίνεται καὶ μέχρι τῆς σήμερον.

Ὡς τόσον καὶ πρὸ τοῦ νὰ κηρυχθῇ ὁ κατὰ τῆς Γερμανίας πόλεμος εἰς τὴν Πόλιν, ὁ καῖσαρ Λεοπόλδος εἶχε παρακινήσει τοὺς Λέχους νὰ συναθροίσουν στράτευμα πολὺ καὶ νὰ ἔλθουν εἰς βοήθειαν τῆς Βιέννης, καὶ ἔγραψε καὶ εἰς ἄλλους χριστιανοὺς ἡγεμόνας, τὸν κοινὸν κίνδυνον προβαλλόμενος καὶ ζητῶν τὴν παρ' αὐτῶν βοήθειαν.

Ἡ ἀργοπορία τοῦ βεζίρη προξενεῖ εἰς τοὺς γιαννιτζάρους διάφορα παραπονέματα, ἀγανάκτησιν καὶ τέλος λιμόν. Ἐν τούτοις φθάνουσιν οἱ Λέχοι μετὰ τριῶν μηνῶν πολιορκίαν τῆς Βιέννης· ὁ βεζίρης προστάττει τοὺς Ταρτάρους ν' ἀποκεφαλίσουν τοὺς παρ' αὐτοῖς αἰχμαλώτους χριστιανοὺς γερμανοὺς, ὄντας εἰς 30 χιλ. ἑνώνονται οἱ Λέχοι μὲ τοὺς στρατιώτας γερμανοὺς καὶ ἐφορμῶσι κατὰ τοῦ ὀθωμανικοῦ στρατοπέδου· μόλις ἄρχισεν ὁ πόλεμος καὶ φεύγουσιν εὐθὺς οἱ Τοῦρκοι, γιαννιτζάροι καὶ σπαχίδες καὶ ὀφφικιάλοι· πάσχει παντοίως ὁ βεζίρης νὰ τοὺς ἐμποδίσῃ, ἀλλ' οὐδὲν ἐκτελεῖ, καὶ φεύγοντες οὕτω δρομαίως ἀπήρχοντο, ὥστε ἐν μιᾷ νυκτὶ ἔφθασαν, πεζοί τε καὶ ἱππεῖς, εἰς τὸ εἰσέτι πολιορκούμενον Γιαβαρῖνο, ἀπέχον τῆς Βιέννης μίλια γερμανικὰ 25, διάστημα ὁποῦ κοινῶς ὁδεύεται εἰς ὥρας 50.

Οἱ Γερμανοὶ καὶ Λέχοι κυριεύουσι τοῦ ὀθωμανικοῦ στρατοπέδου· εὑρίσκουσι πολλὰ προζωάρκεια, μηχανὰς καὶ ἐφόδια πολέμου, τόπια μεγάλα 180, καὶ ἄλλα πράγματα, γούνας καὶ φάλαρα ἀλόγων πολυάριθμα καὶ πολύτιμα.

Φθάσας καὶ ὁ βεζίρης εἰς τὸ Γιαβαρῖνο, φοβούμενος τὸν παρὰ τοῦ σουλτάνου θάνατον, φονεύει τὸν ῥηθέντα ἡγεμόνα τῆς Βούδης Ἰπραὴμ-πασσᾶν, ἄνδρα ἀξιώτατον καὶ περίφημον, καὶ τοὺς λοιποὺς πασσάδες, διὰ νὰ μὴν φανερώσουν τοὺς σκοποὺς τῆς ἀνταρσίας του, εἶτα φονεύει καὶ ἄλλους ἀγάδες· καὶ κοινολογεῖ ὅτι ἡνώθησαν μὲ τὸν Τέκελην, καὶ τὸν παρεκίνησαν μὲν εἰς τὴν πολιορκίαν τῆς Βιέννης, ἀλλὰ πρῶτοι πάντων ἔφυγον ἀπὸ τὸν πόλεμον. Εἶτα διορίσας ἡγεμόνα τῆς Βούδης τὸν Καρὰ-Μουσταφᾶ-πασσᾶν, ἄνθρωπον πιστότατόν του, στρατοπεδεύει παρὰ τοῖς τείχεσιν αὐτῆς, καὶ γράφει τῷ σουλτὰν Μεχμὲτ τὰ αὐτὰ κατὰ τῶν φονευθέντων πασσάδων· καὶ πέμψας δῶρα πολλὰ τῇ Βαλιδὲ καὶ ἄλλοις ὀφφικιάλοις, ζητεῖ νὰ τοῦ ἀφεθῇ τὸ βεζαρέτι διὰ νὰ ὑποτάξῃ τὸν ἐρχόμενον χρόνον ὅλην τὴν Γερμανίαν. Πιστεύει ὁ σουλτὰν Μεχμὲτ καὶ κάμνει τὴν αἴτησίν του.

Ἄλλο στρατόπεδον Τούρκων παρὰ τῇ πόλει Βαρκὰν καταπολεμεῖται ὑπὸ τῶν Γερμανῶν καὶ διαπερῶσι τὸν Δούναβιν ἐπὶ γεφύρας φεύγοντες· τζακίζεται ἡ γέφυρα καὶ πνίγονται πολυάριθμοι· εἶχαν φονευθεῖ 3,000 Τοῦρκοι, καὶ ἐπνίγησαν οἱ λοιποὶ καὶ ἐζωγρήθησαν. Τότε ἐπνίγησαν καὶ τὰ σενδούκια τοῦ διβὰν καλεμίου, καὶ ἐχάθησαν τὰ κάϊδια πολλῶν χάττι-σεριφίων· ὅθεν ἐχάθησαν καὶ τὰ τῆς Ἱερουσαλὴμ, τὰ ὁποῖα ὁ Ἱεροσολύμων κὺρ Παρθένιος ἀνενέωσε διὰ τῶν χοτζετίων ὁποῦ εἶναι πεφυλαγμένα μὲ σενδούκια εἰς τὸ Γενὶ-τζαμὶ τὸ παρὰ τῷ Παχτζὲ-καπισί. Ὑπέταξαν οὖν οἱ Γερμανοὶ καὶ τὸ Βαρκὰν, εἶτα καὶ τὴν πόλιν Στριγονίαν.

Ὁ ῥηθεὶς Πετρεζέϊκος ἐφορμᾷ μὲ τοὺς Καζάκους κατὰ τῆς Βεσσαραβίας καὶ ποιεῖ τὰ ἔσχατα τῶν κακῶν, καὶ τυραννεῖ τέκνα καὶ γυναῖκας καὶ γέ-

ροντας, τῶν Ταρτάρων ἀπόντων εἰς τὴν πολιορκίαν τῆς Βιέννης· ἐφορμᾷ δὲ καὶ κατὰ τῆς Μολδαβίας τῇ τῶν Λέχων συμμαχίᾳ. Ὅθεν ὁ Δούκας, ὁ τῆς Μολδαβίας ἡγεμὼν καὶ διορισθεὶς ἡγεμονεύειν καὶ τῆς Οὐκραΐνης, οὐ μόνον ἀπώλεσεν ἀμφοτέρας, Μολδαβίαν τε καὶ Οὐκραΐνην,ἀλλὰ δὴ καὶ ἐζωγρήθη ὑπὸ τῶν Λέχων, καὶ οἱ Ὀθωμανοὶ εἰς τὴν ἐν τῷ Καρλοβὶτζ ἀγάπην ἐπέστρεψαν εἰς τοὺς Λέχους τὴν Οὐκραΐνην σὺν τοῖς Καζάκοις τοῖς κατοικηταῖς αὐτῆς.

ΚΕΦ. ΛΖ'.

Πατριαρχεία Ἰακώβου τοῦ ἀπὸ Λαρίσσης, καὶ τρίτη Διονυσίου τοῦ Μουσελίμη· καὶ πόλεμος κατὰ Γερμανῶν, Μοσχόβων, Λέχων καὶ Ἐνετῶν.

Τῇ λ' τοῦ Ἰουλίου, ἐξωσθέντος τοῦ πατριάρχου Διονυσίου τοῦ Μουσελίμη, ἐπιπηδᾷ τοῦ θρόνου παρὰ γνώμην συνοδικὴν Ἀθανάσιος ὁ Ῥαιδεστοῦ ἐπίσκοπος· μὴ δεχθεὶς δὲ παρὰ τῶν ἀρχιερέων καὶ μὴ μετατεθεὶς, κατὰ τὸ ἔθος, διὰ τὴν ἀχρειότητά του ἔμεινεν ἀργὸς πάσης ἱεροπραξίας. Ὅθεν ψήφῳ κοινῇ τῶν μητροπολιτῶν καὶ τῶν κληρικῶν ἐξωρίσθη τῇ ιγ' τοῦ Αὐγούστου, καὶ ἀνεβιβάσθη εἰς τὸν Οἰκουμενικὸν θρόνον ὁ μητροπολίτης Λαρίσσης Ἰάκωβος ὁ Χῖος.

Τὸν Ἀντιοχείας Εὐτύχιον τὸν Χῖον,πατριαρχεύσαντα ἔτη δέκα πρὸς τοῖς ἓξ καὶ θανόντα, διεδέχθη Μακάριος ὁ Δ', ὁ ἀπὸ Βερρόιας τῆς Συρίας· καὶ πατριαρχεύσας ἔτη 36 μέχρις ἔτους δηλαδὴ **1719** πρὸς Κύριον ἐξεδήμησε, καὶ διεδέχθη αὐτὸν ὁ ἀρχιδιάκονος αὐτοῦ καὶ ἀνεψιὸς Κύριλλος ὁ Γ', ἄγων ἔτος τῆς ἡλικίας του δέκατον ἕκτον.

—

Ἔτει σωτηρίῳ 1684, τοῦ Χιτζρὲ 1095.

Ὁ βεζίρης φοβούμενος καὶ ἄλλους πασσάδες τοὺς περὶ αὐτὸν νὰ μὴν φανερώσουν τὸν σκοπὸν τῆς ἀνταρσίας του, γράφει πάλιν τῷ σουλτὰν Μεχ-

μὲτ κατηγορῶν αὐτοὺς πῶς δὲν τὸν ὑποτάσσονται καὶ πῶς ἐξ αἰτίας των ἐάλω τὸ Βαρκὰν καὶ ἡ Στριγονία, καὶ ἐζήτει νὰ τοὺς φονεύσῃ. Ἐγνώρισαν αὐτοὶ τὰ γραφέντα καὶ γράφουσι πρὸς τοὺς φίλους των εἰς τὴν Πόλιν πᾶσαν τὴν ἀλήθειαν. Ταῦτα μαθὼν ὁ βασιλεὺς πέμπει τὸν καπουτζιλὰρ-κεαγιασὴ εἰς τὸ Βελιγράδι μὲ χάττι-σερίφι διὰ νὰ φονεύσῃ τὸν βεζίρην Καρὰ-Μουσταφᾶ πασσᾶν, οὗ γενομένου ἔγινε βεζιραζέμης εἰς τὴν Πόλιν ὁ καϊμακάμης Χαρὰ-Ἰπραὴμ-πασσᾶς.

Μαθόντες οὖν οἱ Ἐνετοὶ τὴν εἰς τὴν Γερμανίαν καταστροφὴν τῶν Τούρκων ζητοῦσιν ἐκδίκησιν διὰ τὰς προγεγονυίας κατ' αὐτῶν ἀτιμίας· ἡ αὐλὴ ἡ ὀθωμανικὴ καταφρονεῖ τὸ ζήτημα. Ὅθεν ἐνωθεῖσα ἡ Βενετία μὲ τὸν καίσαρα Λεοπόλδον καὶ μὲ τὸν ῥῆγα τῆς Πολωνίας κηρύττει καὶ αὐτὴ τὸν πόλεμον κατὰ τῶν Ὀθωμανῶν. Ὁ νέος βεζίρης Καρὰ-Ἰπραὴμ-πασσᾶς, μὴν ἔχωντας πρόχειρον στόλον παρὰ μόνον ἓξ γαλιόνια καὶ μερικὰ κάτεργα παμπάλαια, πάσχει νὰ καταπείσῃ τοὺς Ἐνετοὺς νὰ μὴ κινηθοῦν εἰς πόλεμον κατὰ τῶν Ὀθωμανῶν, καὶ ὑπόσχεται νὰ ἐπιστρέψῃ τὰ ληφθέντα χρήματα, ἀλλ' αὐτοὶ οὐ πείθονται· ὅθεν ὁ βεζίρης διορίζει σερασκέρην κατὰ τῶν Γερμανῶν τὸν Σεϊτὰν-Ἰπραὴμ-πασσᾶν, καὶ κατὰ τῶν Λέχων τὸν Ἀϊνατζὴ Σουλεϊμὰν-πασσᾶν, καὶ κατὰ τῶν Ἐνετῶν διορίζει τὸν καπετὰν-πασσᾶν διὰ νὰ παρατηρῇ τὰ κινήματά τους· καὶ αὐτὸς μένει εἰς τὴν Πόλιν προφάσει μὲν ἀῤῥωστίας, τῇ δ' ἀληθείᾳ φοβούμενος τὸν κίνδυνον τῆς ζωῆς του ἀπὸ μέρους τοῦ σουλτάνου διὰ τὴν κακὴν, ἣν προέβλεπεν, ἔκβασιν τῶν πραγμάτων· ὅθεν τὰς λυπηρὰς εἰδήσεις ἔκρυπτεν ἐπιμελῶς ἀπὸ τὸν σουλτάνον καὶ ἐφανέρωνε μόνον τὰς χαροποιάς.

Ἐφορμήσας οὖν ὁ δοὺξ τῆς Λοραίνης κατὰ τῆς Οὐγγρίας ἀπὸ μέρους τοῦ καίσαρος ἔαρος ἐπιφανέντος, ὑποτάσσει τὴν πόλιν Βιτζεγράδ, τὴν Βιτζιάν, τὴν Πέσταν, πόλιν κειμένην ἐπὶ τοῦ Δουνάβεως ἄντικρυ τῆς Βούδης· εἶτα πολιορκεῖ καὶ αὐτὴν τὴν Βούδην, καὶ παραταθείσης τῆς πολιορκίας μῆνας τέσσαρας λύει αὐτὴν οὐδὲν διαπραξάμενος.

Ἐν τούτοις δὲ καὶ ὁ κόμης Λέσλης ἐφορμήσας κατὰ τῆς Σκλαβωνίας ὑπέταξε τὸ ὀχύρωμα αὐτῆς Βιρόβι· κατεπολεμήθη δὲ καὶ ὁ Τέκελης ὑπὸ τῶν Γερμανῶν διὰ τοῦ στρατηγοῦ Σχοὺλτζ εἰς τὴν κάτω Οὐγγρίαν παρὰ τῇ πόλει Ἐπερίᾳ, καὶ ἡρπάγησαν ὅλα του τὰ πράγματα.

Οἱ δὲ Λέχοι ἐνικήθησαν· ὁ γὰρ Ἀϊνατζὴ Σουλεϊμὰν-πασσᾶς, ὅ ἐστι πολύτροπος καὶ πολύμητις, διαπλεύσας τὸν Δούναβιν εἰς τὴν Ἰσάκτζαν καὶ μὴ ἁπάντων Λέχους, ἐνδυναμώνει τὴν Μολδαβίαν καὶ τὴν Λεχίαν, καὶ μανζιλεύσας τὸν αὐθέντην τῆς Μολδαβίας Δημήτριον τὸν Καντακουζηνὸν ἔκαμεν ἡγεμόνα αὐτῆς Κωνσταντῖνον τὸν Καντεμίρην. Ἀφίησιν ἀκλόνητον, ὡς ἄνδρα πολεμικὸν, τὸν ἡγεμόνα τῆς Βλαχίας Σερπάνον τὸν Καντακουζηνὸν, καὶ πέμπει εἰς τὴν Πόλιν ὡς ὁμήρους τὸν Ἀντίοχον υἱὸν τοῦ ἡγεμόνος τῆς Μολδαβίας Κωνσταντίνου τοῦ Καντεμίρη, καὶ τέσσαρας ἄρχοντας μολδαβούς. Φθάνει καὶ ὁ ῥὴξ τῆς Λεχίας Ἰωάννης ὁ Σομπιέσκης σὺν τῷ στρατῷ εἰς τὰς ὄχθας τοῦ Νίστρου τὰς ἀντικρὺ τοῦ Χοτινίου, καὶ ὑποτάσσει τὸ ὀχύρωμα Κάντζα· ὑπερηφανευθεὶς διὰ τοῦτο ἑτοιμάζει γέφυραν ν'

ἀπεράσῃ τὸν Νίστρον καὶ νὰ ἐφορμήσῃ κατὰ τῆς Μολδαβίας. Προλαμβάνει τὴν διάπλευσιν τοῦ ποταμοῦ ὁ Ἀϊνατζὴ Σουλεϊμὰν-πασσᾶς, καὶ διορίσας τοὺς Ταρτάρους εἰς τὸ ἀντικρυνὸν μέρος τοῦ ποταμοῦ, καὶ αὐτὸς στρατοπεδεύσας εἰς τὴν ἐνθάδε ὄχθην, κατακλείει τὸν Σομπιέσκην ἐν τῷ στρατοπέδῳ αὐτοῦ, καὶ εἰς πολλὰ μέρη μὲ ἀκροβολισμοὺς τὸν πολεμεῖ· ὅθεν ὁ ῥὴξ βιασθεὶς φεύγει μετὰ ὀλίγων ἄνευ κρότου· ἀκολουθεῖ αὐτὸν τὸ λοιπὸν τοῦ στρατοῦ ἀφοῦ κατέκαυσε πάντα τὰ ἐν τῷ στρατοπέδῳ ἐφόδιά του καὶ ἔρριψεν ἔν τινι λίμνῃ τὰ τόπια καὶ ἄλλας πολεμικὰς μηχανάς· τοιούτους καρποὺς ἔδωκεν αὐτῇ ἡ ἐκστρατεία μὲ πολυάριθμον μιαιφονίαν τῶν Λέχων.

Ἄλλο τέλος ἔλαβον τὰ τῶν Ἐνετῶν. Πρῶτον μὲν γὰρ εἰς τὴν Δαλματίαν ὑπέταξαν τὰς πόλεις Μορλάκι, Οὐράιαν, Ὀβροβάτζο, Καρδόναν, Δουάρην καὶ κατέκαυσαν τὴν Δέρνης· εἶτα καὶ ὁ στόλος, ὑπὸ ἀρχιθαλασσίῳ τῷ αὐτῷ Μοροζίνῃ, ἀφοῦ παρεδόθη τὸ Κάστρον τῆς Κρήτης, ὑπέταξε τὴν νῆσον Λευκάδα, ἄλλως Ἁγία Μαύρα λεγομένην· εἶτα ἐλθὼν εἰς τὴν Ἀκαρνανίαν, ἐπαρχίαν τῆς Ἠπείρου, ὑπέταξε τὰς πόλεις Βενέτζι, Σόμελον καὶ ὅλην τὴν ἐπαρχίαν· εἶτα ἐλθὼν εἰς τὸν Μωρέαν ὑπέταξε τὴν Περέβεσαν καὶ κατεπόντισε τὰ κάτεργα τῶν Ὀθωμανῶν ὁποῦ εἶχον σταλεῖ διὰ νὰ ὑποτάξουν τὴν Κίνσαν.

—

Ἔτει σωτηρίῳ 1685.

Τρίτη πατριαρχεία Διονυσίου τοῦ Μουσελίμη.

Παραιτηθέντος τοῦ πατριάρχου Ἰακώβου μετὰ διετῆ πατριαρχείαν ἐπανῆλθεν αὖθις τὸ τρίτον εἰς τὸν πατριαρχικὸν θρόνον Διονύσιος ὁ Μουσελίμης, κατὰ τὴν λ΄ τοῦ Ἰουλίου μηνός· ἀλλὰ κακῇ τύχῃ διὰ τὸ φιλοτάραχον τῶν ἀρχιερέων ἐπατριάρχευσε μόνον μῆνας ἑπτά.

Τούτῳ τῷ ἔτει, τῇ συνεργείᾳ τοῦ πατριάρχου, ᾠκοδομήθη ἡ ἐκκλησία τῆς Ἐλπίδος εἰς τὸ Κοντοσκάλι.

Οἱ Τάρταροι τοῦ Κριμίου ἔπαιρναν ἀπὸ τοὺς Ῥώσσους κάθε χρόνον ἐτήσιον δασμὸν 60 χιλ. ῥούβλια, καθὼς καὶ ἡ ὀθωμανικὴ βασιλεία εἶχεν ἐπιφορτίσει δασμὸν εἰς τοὺς Λέχους.

ΚΕΦ. ΛΗ΄.

Πέμπτη πατριαρχεία Παρθενίου τοῦ Μογιλάλου, καὶ δευτέρα πατριαρχεία Ἰακώβου τοῦ ἀπὸ Λαρίσσης, καὶ τετάρτη πατριαρχεία Διονυσίου τοῦ Μουσελίμη, καὶ τρίτη πατριαρχεία Ἰακώβου τοῦ ἀπὸ Λαρίσσης.

—

Ἔτει σωτηρίῳ 1686, τοῦ Χιτζρὲ 1097.

Τῇ συνεργείᾳ τῶν ἀρχιερέων, (εἰς τοιούτους λυπηροὺς καιροὺς τῆς ὀθωμανικῆς βασιλείας, ἥτις δὲν εἶχεν εὐκαιρίαν οὔτε κἂν νὰ συλλογίζεται περὶ πατριάρχου), ἐξοῦται τοῦ θρόνου τοῦ Οἰκουμενικοῦ ὁ πατριάρχης Διονύσιος ὁ Μουσελίμης, δίδεται αὐτῷ διὰ προζωάρκειαν ἡ μητρόπολις τῆς Χαλκηδόνος, καὶ ἀναβιβάζεται τὸ πέμπτον εἰς τὸν Οἰκουμενικὸν θρόνον Παρθένιος ὁ Μογιλάλος, τῇ ις΄ τοῦ Μαρτίου· διοικεῖ ἔτος ἓν καὶ μῆνας τρεῖς.

Πολιορκοῦσιν οἱ Γερμανοὶ τὴν πόλιν Βιδὰρ, καὶ ὁ δοὺξ τῆς Λοραίνης ἐφορμᾷ κατὰ τοῦ σερασκέρη τῶν Ὀθωμανῶν Σεϊτὰν-Ἰπραὴμ-Πασσᾶ, ἐστρατοπεδευμένου παρὰ τῇ πόλει τῆς Οὐγγρίας Στριγονίᾳ, καὶ κατακόπτει τὸν στρατὸν τὸν ὀθωμανικὸν, καὶ κυριεύει τὸ στρατόπεδον γέμον ἀπὸ ἐφόδια πολεμικὰ καὶ ἀπὸ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα πολυάριθμα· εἶτα ὑποτάσσουσιν οἱ Γερμανοὶ καὶ τὸ Βιδὰρ, καὶ κατακόπτουσι πάντα τὸν ἐν αὐτῷ στρατὸν, καὶ λεηλατοῦσι τὴν πόλιν, καὶ προσκυνοῦσιν αὐτοῖς οἰκειοθελῶς οἱ ὀθωμανοὶ στρατιῶται οἱ ἐν ταῖς πόλεσι τῆς Οὐγγρίας Νομιγράδ καὶ Βιτζεγράδ. Ὅθεν ὁ σερασκέρης πέμψας τὸν Ἀχμὲτ-τζελεπὴν εἰς τὸν στρατηγὸν τῶν Γερμανῶν δοῦκα τῆς Λοραίνης, ζητεῖ τὴν ἀγάπην, ἀλλ' αὐτὸς αὐτὴν οὐ δέχεται.

Καὶ ὁ κόμης Δέσλης λεηλατεῖ τὴν Σκλαβωνίαν, καὶ ὁ Σχούλτζ εἰς τὴν κάτω Οὐγγρίαν ὑποτάσσει τὴν πόλιν Ἐπερίαν ἥτις ἦν προσηλωμένη τῷ Τέκελῃ· ὑποτάσσει δὲ καὶ τὰ ὀχυρώματα Τοκαΐ, Ζολνὸκ, Ἰβραΐνι, Κάρο, μικρὸν Βαραδίνι, Σαρέσην καὶ τὸ ὀχύρωμα τὸ λεγόμενον Ἐκκλησία τοῦ Ἁγίου Νικολάου, καὶ ὁ Τέκελης φοβηθεὶς φεύγει εἰς τὴν Κασσοβίαν, ὅπου ὀχυροῦται σὺν τοῖς περὶ αὐτὸν τὸν ἐνόντα τρόπον, προσμένων τὴν παρὰ τῶν Ὀθωμανῶν βοήθειαν. Ἐλθὼν ὁ Καπράρας πολιορκεῖ τὴν πόλιν Κασσοβίαν. Ὁ

Τέκελης μηνύει τῷ πασσᾷ τοῦ Βαραδινίου ζητῶν συμμαχίαν· ἀντεμήνυσεν αὐτῷ ὁ πασσᾶς ἐλθεῖν πρὸς αὐτὸν ἵνα συσκεφθῶσι τὸν τρόπον τοῦ ἐλευθερῶσαι τὴν πόλιν· ἔρχεται μὲ 7,000 Οὔγγρους οὐδὲν ὑποπτευόμενος· ἐλθόντι προϋπαντᾷ αὐτῷ ὁ πασσᾶς ἔξω τῆς πόλεως, καὶ τιμήσας τὰ μέγιστα παρακαλεῖ εἰσελθεῖν εἰς τὸ Βαραδίνι μόνον μὲ τοὺς προεχῶτας τῶν ὀφφικιάλων, καὶ πέμψαι εἰς τὰς πέριξ κώμας τὸν ἴδιον στρατὸν, διὰ τοῦ ὁποίου τὴν τροφὴν ὁ πασσᾶς ἔλεγεν ὅτι θέλει φροντίσει. Εἰσέρχεται μεμονωμένος ὁ Τέκελης, προσκαλεῖ αὐτὸν ὁ πασσᾶς εἰς τὸ ἄριστον, μεθ' ὃ ὀφφικιάλος τις ὀθωμανὸς συντροφευμένος μὲ πολλοὺς γιαννιτζάρους εἰσελθὼν δείκνυσι χάττι-σερίφι, ἐν ᾧ προσέταττεν ὁ σουλτάνος πεμφθῆναι τὸν Τέκελην σιδηροδέσμιον εἰς τὴν Πόλιν· ὃ καὶ γίνεται μὲ πολλὴν ἔκπληξιν τοῦ Τέκελη καὶ τῶν σὺν αὐτῷ, καὶ ἐλθὼν εἰς τὴν Πόλιν εἱρκτῇ παραδίδεται εἰς τοὺς Ἑπτὰ-Πύργους. (Ὁ δραγομάνος Ἀλέξανδρος ὁ Μαυροκορδάτος διέβαλεν αὐτὸν τῷ βεζίρῃ ψευδῶς ὡς παρακινήσαντα τὸν πρώην βεζίρην Καρὰ-Μουσταφᾶ-πασσᾶν εἰς τὴν πολιορκίαν τῆς Βιέννης.) Εἶτα ὁ πασσᾶς μεταπεμψάμενος ἕνα τῶν σὺν τῷ Τέκελῃ ὀφφικιάλων τοὔνομα Πετρόζην διορίζει ἡγεμόνα ἐπὶ τῶν τοῦ Τέκελῃ Οὔγγρων. Ὁ Πετρόζης ὑποκρινόμενος δέχεται τὴν ἐπιστασίαν, ἀλλὰ καταλαβὼν τὸ στρατόπεδον διασύρει πρὸς τοὺς Οὔγγρους τὴν ἀπιστίαν τῶν Τούρκων καὶ τὴν πρὸς τὸν Τέκελην ἀχαριστίαν, καὶ παρακινεῖ αὐτοὺς προσηλωθῆναι τῷ καίσαρι Λεοπόλδῳ· πάντων δὲ κατανευσάντων ἀπέρχεται ὁ Πετρόζης πρὸς τὸν Καπράραν πολιορκοῦντα τὴν πόλιν Κασσοβίαν, προσκυνεῖ δι' αὐτοῦ τῷ καίσαρι σὺν παντὶ τῷ γένει τῶν Οὔγγρων, καὶ ἑνοῦνται αὐτῷ κατὰ τῶν Ὀθωμανῶν· παραδίδοται εὐθὺς καὶ τὸ κάστρον καὶ γίνεται χαρὰ μεγάλη εἰς ὅλους τοὺς Οὔγγρους.

Ἐν δὲ τῇ Λεχίᾳ ὁ ῥὴξ Σομπιέσκης παρεκίνει τὸν ἡγεμόνα τῆς Μολδαβίας Κωνσταντῖνον τὸν Καντεμίρην ἀνταρτῆσαι κατὰ τῶν Τούρκων καὶ προσηλωθῆναι αὐτῷ μὲ συμμαχίαν· οὗ μὴ γενομένου, ὁ Σομπιέσκης ὑπὸ στρατηγοῖς Ποτόκῃ καὶ Γιαπρονόβσκῃ πέμπει στρατὸν κατὰ τῆς Μολδαβίας. Ἀπαντᾷ αὐτῷ ὁ σερασκέρης Ἀϊνατζὴ Σουλεϊμὰν-πασσᾶς 25 χιλιάσιν ὀθωμανικοῦ στρατοῦ, καὶ ὁ χάνης 50 χιλιάσι Ταρτάρων, καὶ ὁ ἡγεμὼν τῆς Μολδαβίας 5 χιλιάσι Μολδαβῶν· ἄρχεται ὁ πόλεμος, καὶ ἐν μιᾷ ὥρᾳ φονεύονται παρὰ τῶν Τούρκων ἓξ χιλιάδες Λέχοι καὶ πέντε χιλιάδες Καζάκοι, καὶ φεύγουσιν οἱ Λέχοι ἀφέντες τὸ στρατόπεδον σὺν πᾶσι τοῖς ἐν αὐτῷ εἰς τὴν ἐξουσίαν τῶν Ὀθωμανῶν.

Ἀλλ' οὐχ οὕτως οἱ Ἐνετοὶ· οἵτινες νικήσαντες πολέμῳ τὸν ἐν τῷ Μωρέᾳ σερασκέρην Χαλὶλ-πασσᾶν, ὑπέταξαν τὴν Κορώνην καὶ κατέκοψαν καὶ τοὺς ἐν αὐτῇ φύλακας ὀθωμανούς. Ὡπλοφόρησαν δὲ καὶ οἱ Μανιᾶται κατὰ τῶν Τούρκων πρὸς βοήθειαν τῶν Ἐνετῶν, (οὗτοι οἱ Μανιᾶται ἀπόγονοί εἰσι τῶν πάλαι Λακεδαιμονίων, ὀρέων κατοικηταί, συμποσούμενοι εἰς 12 χιλιάδας,) καὶ ὑποτάσσουσι τὴν πόλιν Ζαρνόταν, παρὰ τῇ Καλαμίτᾳ. Πολεμοῦσιν οἱ Ἐνετοὶ τὸ στρατόπεδον τῶν Τούρκων καὶ κατακόπτουσιν αὐτούς, καὶ ὑποτάσσουσι μετὰ ταῦτα τὰς πόλεις Καλαμίταν, Πασάβαν καὶ Κεφάλαν, καὶ ἐπανακάμπτοντες ὑποτάσσουσι τὸ Γομένιζον, κείμενον ἀντικρὺ

τῆς Κερκύρας· ὡσαύτως καὶ εἰς τὴν Δαλαματίαν ὑπέταξαν οἱ Ἐνετοὶ τὴν πόλιν Δουάραν.

Διὰ ταῦτα ὁ βεζίρης Καρὰ-Ἰπραὴμ-πασσᾶς ἀσχάλλων ἔβλεπε τὸν κίνδυνον τῆς ζωῆς του, ὁποῦ, καθὸ βεζίρης, αὐτὰ ὅλα ἐπὶ τῆς κεφαλῆς του ἔμελλε νὰ ξεσπάσουν· ὅθεν διὰ ν' ἀποφύγῃ τὸν κίνδυνον ἐστοχάσθη νὰ φονεύσῃ τοὺς πασσάδες ὁποῦ διὰ τὴν ὑπόληψίν τους ἦσαν ἀναγκαῖοι διὰ τὴν διεξαγωγὴν τῶν βασιλικῶν ὑποθέσεων καὶ ἱκανοὶ διὰ τὸ μέγιστον ὀφφίκιον τοῦ Ἐπιτρόπου, διὰ νὰ μὴν εὑρίσκεται ὁ καλήτερος ἢ ἴσος αὐτῷ διὰ τὸ ὀφφίκιον τῆς ἐπιτροπικῆς, ὥς ποτε ἔκαμε καὶ ὁ Κιοπρουλὴ Μεχμὲτ πασσᾶς· ἐλεεινὴ κατάστασίς τινων ὁποῦ διὰ τὴν διατήρησιν τῶν ὀφφικίων των ἐκπίπτουσιν εἰς τὸ τυραννικόν. Κατηγορεῖ οὖν πρῶτον τὸν Σεϊτὰν-Ἰπραὴμ-πασσᾶν ὡς ἀμελήσαντα τὸ καὶ τὸ, καὶ διὰ τοῦτο ἠττηθέντα παρὰ τῶν Ἀλλαμάνων· ὅθεν φονεύεται ἀδίκως, καὶ μετ' αὐτὸν καὶ ἄλλοι οἱ μέγα ὄνομα ἔχοντες. Οὐκ ἠδύνατο διαβαλεῖν τὸν Ἀϊνατζὴ Σουλεϊμὰν-πασσᾶν ὡς ἐπαινούμενον παρὰ πάντων διὰ τὰς κατὰ τῶν Πολωνῶν νίκας· ὅθεν διὰ νὰ τὸν κρημνίσῃ προβάλλει τὸ νὰ διορισθῇ σερασκέρης κατὰ τῶν Ἀλλαμάνων, (χριστιανὸς ἦν αὐτὸς τὸ πρῶτον, πατρίδα ἔχων τὴν Βιέννην, καὶ θεῖον ἀρχιμανδρίτην τῆς Βόσνας, τὸν καὶ πολλοῦ τιμηθέντα παρὰ Ἰωάννου καὶ Πέτρου τῶν αὐταδέλφων βασιλέων τῆς Μοσχοβίας διὰ τὸ προσηλῶσαι τῇ αὐτῶν βασιλείᾳ πολλοὺς τῶν οἰκητῶν τῆς Σερβίας καὶ Βουλγαρίας), ὑπερεπαινέσας αὐτὸν πρὸς τὸν σουλτὰν Μεχμὲτ ὡς ἀξιώτατον. Ὁ σουλτάνος πεισθεὶς διορίζει τὸν Πουγιουκλὴ Μουσταφᾶ-πασσᾶν σερασκέρην εἰς τὴν Μολδαβίαν, καὶ τὸν Ἀϊνατζὴ Σουλεϊμὰν-πασσᾶν σερασκέρην κατὰ τῶν Γερμανῶν. Ὁ κιζλὰρ-ἀγᾶς Γιουσοὺφ-ἀγᾶς καταλαμβάνει τὸν σκοπὸν τοῦ βεζίρη, μηνύει τῷ Σουλεϊμὰν-πασσᾷ τὰ πάντα, ὅστις ἐλθὼν εἰς τὴν Πόλιν ἀπέρχεται εἰς προσκύνησιν τοῦ βεζίρη μεγάλην ὑποκρινόμενος ὑπόκλισιν, εἶτα καὶ εἰς τὴν τοῦ σουλτὰν Μεχμὲτ, ὅστις τῇ προτροπῇ τοῦ Γιουσοὺφ-ἀγᾶ ἀναδείκνυσιν αὐτὸν βεζίρην, καὶ καθαιρεῖ τὸν Καρὰ-Ἰπραὴμ-πασσᾶν ἐξορίσας εἰς τὴν Ῥόδον.

